τὰς ποιμένας, ϗ τὰς αἰπόλας, τ Πρίαπον, ϗ τὰς λοιπὰς, ὅθεν ἐφθέγξατο ὁ βυκόλος, ἤτοι ὁ Δάφνις. ΑΛΛ. Ἀλλὰ τ αὐτᾷ ἔρωτα ἐπέραινε, ϗ δίψυε μέχρι ϗ τ μοίρας. τοῦτο δηχῶς. ἐὰν μὴ γὰρ σκυτέων ἀμβλὺ τὸ ας, σημαίνῃ γενικὴν πῶσιν· ἐὰν ᾖ συςέλλωμεν αὐτὸ, αἰτιατικὴν τ πληθυντικῶν Δωρικῶς. σκεῖνοι γὰρ τὰς παρ' ἡμῖν σκφερομένας εὐθείας τ πληθυντικῶν ἀφ' τ αι διφθόγγ ἀφ' ᾗς εις σκφέρουσιν. Αλλως. Πρὸς τοῦτους. ἤγουν τὸν νομεῖς ϗ τ Πρίαπον, ὅθεν ἔλεξεν, ἀντὶ ᾗς ὅθεν ἀπεκρίνατο ὁ βυκόλος, ἀλλὰ τ ἑαυτᾷ ἀπεκρίνω ἀλγῶν ἔρωτα, ϗ εἰς τὸ τέλος ἤνυε, ἤγουν, ἔσπευδε τὸ τ μοίρας, ἤγουν, ὁ ἡ μοῖρα αὐτῷ ἀπεκλήρωσεν.

95. ΗΝΘ. Ηλθε ϗ ἡ ἡδεῖα Κύπρις γελῶσα, ϗ ἔφη. βύτα ὑπ' ἀργαλέου ἐλυγίχθης ἔρωτος ϗ ἐκάμφθης· ταῦτα ᾗ ἐπὶ μυκτηρισμῷ λελήθυῖα φησὶν ἡ Κύπρις. Εὔπολις. οἷον λυγίζεται ϗ συςρέφῃ τ αὐχένα. Αλλως. Τὸ ἁδεῖα, ϗ ἁ δῖα ποιητικῶς λέγεται. ἐὰν ᾗ γράφεται ἀφ' ᾗς ι ἁ δῖα ἡ Διὸς θυγάτηρ, ἐναντίως βάλεται. θέλῃ γὰρ εἰπεῖν, φανερῶς μὲν γελῶσα, λανθάνῃ ᾗ βαρυωμένη ἐπὶ τῷ Δάφνιδι, ταῦτα ἐπὶ μυκτηρισμῷ λέγῃ ἡ Αφροδίτη. Αλλως. Ηλθέ γε μὴν, ϗ ἡ Κύπρις ἡ ἡδεῖα γελῶσα. λάθρα μὲν γελῶσα. βαρὺν ᾗ θυμὸν, ἤγουν, βαρεῖαν ὀργὴν ἀνέχουσα, τυτέσιν, ἀναδιδεγμένη· βαρεῖα ᾗ ὀργὴ, ἣν ὐκ ἄν τις ῥαδίως ἐνέγκαι, ϗ εἶπε· σὺ δὴ ὦ Δάφνι κατεύχῃ, ἀντὶ ᾗ εὔχῃ, ἐγκαυχᾶσαι, λυγιξεῖν, ἤγουν λυγίσῃ, καταπαλαίσῃ τ ἔρωτα. ἆρ' ὐκ αὐτὸς ὑπὸ ᾗ ἔρωτος ᾗ ἀλγῶν ἐλυγίχθης; τ Δωριέων ᾗ τοῦτό ἐςιν. ἐπεὶ γὰρ ὅτοι ἐπὶ ᾗ μέλλοντος ᾗ ἐνεργητικῶς, λυγιξῶ λέγουσιν, ὡς πλέξω, ἐξ ἀνάγκης ϗ ἐλυγίχθης λέγουσιν ἐπὶ ᾗ παθητικῶς ὁρίσῃ, ὡς ἐπλέχθης.

97. Αλλως ΛΥΓ. Καταδῆσαι, τυτέσι, φιλέσιος ᾗ ἔρωτος ἐγκαυχῶ. ἴσως γὰρ ὁ Δάφνις μεγαλορρημονήσας εἰς τὴν θεὸν, ταύτῃ ὑπέσχετο τὴν ποινὴν ϗ τιμωρίαν. ἢ λυγιξεῖν, τοῖς βεργίοις δῆσαι· ἤτοι δῆσαι λύγοις, παρὰ τὸ δισμεύω. ϗ Ομηρος· Δίδη μύσχοισι λύγοισιν· ἢ θλάσειν. ἀπαλὸς γὰρ ὁ λύγος. λέγουσι ᾗ ϗ τὸ ἀμαυρόσῃ δηλῶν· λυγρὰ γὰρ τὰ σκοτεινά. ἢ λυγιξεῖν, κάμψῃ, δεσμεύσῃ. λυγίσω, ϗ Δωρικῶς λυγιξῶ, ἀπὸ ᾗ λύγος, τὸ βεργίον, ϗ ὁ δεσμώς. ἴσως γὰρ ὁ Δάφνις φιλέσιος τὸ ἔρωτος μεγαλορρημονήσας, ταύτῃ ἔπαθε τὴν ποινήν.

100. ΤΑΝ.

Ἀρ' οὐκ αὐτὸς ἔρωτι ὑπ' ἀργαλέῳ ἐλυγίχθης;
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τάνδ' ἄρα τῷ Δάφνις προσεμείψατο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσατά, Κύπρι θνατοῖσιν ἀπεχθής.
Ἤδη γὰρ φαίνοις πάντ' ἄλιον ἄμμι δεδύκειν.
Δάφνις κεἰν ἀΐδᾳ κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Οὔ λέγε τὰν Κύπριν ὁ βουκόλος, ἕρπε πὸς Ἴδαν,

Nonne vero nunc ipſe ab amore gravi ſuperatus es?
Incipite Bucolicum, ô dulces Muſæ, incipite carmen.
Huic Daphnis reſpondit; O triſtis Venus,
Venus odioſa, Venus hominibus inimica.
Jam ergo ais omnem ſolem nobis occidiſſe.
Daphnis & apud inferos etiam erit malus dolor amoris.
Incipite Bucolicum, ô dulces Muſæ, incipite carmen.
Ad Idam montem vade, ubi paſtor Venerem, ut fama eſt,

100. ΤΑΝ. Πρὸς ταύτῳ καὶ ὁ Δάφνις ἠμείβετο, ἀντὶ τοῦ ἠμείψατο, ἤγουν, ἀπεκρίνατο, ὦ Κύπρι βαρεῖα, ἤγουν ἐπαχθής. βαρὺ ἐπὶ ὄγκου, ᾧ ἐναντίον τὸ κοῦφον. ἀφ' οὗ βαρύς, ὁ δυσκίνητος, καὶ ὁ ἐπαχθής.

101. ΚΥΠ. Ἤγουν, ἀξία μέμψεως. Κύπρι ἀπεχθής, ἤγουν μεμισημένη ὑπὸ τῶν ἀνθρώπων. ἤδη γὰρ ὁ ἥλιος φράσδῃ ἡμῖν πάντα, ἤγουν δείκνυσι, φανερὰ ποιεῖ, ἀφ' ἧς μὲν τῆς Ἄρεως αὐτῆς μίξιν λέγῃ, ἣν ἔδυξεν ὁ ἥλιος. δεδυκὼς ὁ Δάφνις, ἤγουν ἐκλείπῃ, ἀποθνήσκει, καὶ ἐν τῷ ᾅδῃ κακὸν ἄλγος ἔσται τοῦ ἔρωτος, ὥσπερ ἐν τῇ ζωῇ δηλονότι. δοκεῖ γὰρ ἀντιτάξασθαι πρὸς τὸ ἔρωτα· διὸ καὶ ταύτῳ αὐτὸς αὐτῷ τὴν δίκλιν ἐπήνεγκε. τὸ δὲ ἄμμιν, ἡμῖν ἦν, καὶ τροπῇ τοῦ η εἰς α Δωρικῶς, καὶ προθέσει τοῦ μ Αἰολικῶς, καὶ ἐν ὑπερβιβασμῷ τοῦ τόνου, ἄμμιν.

105. ΟΥ. Τὸ ὅ, δασύνεται. ἔστι γὰρ ἀντὶ τοῦ ὅπου. λείπει δὲ τὸ καταισχύναι, ἵν' ᾖ τὸ ὅλον· ὅπου ὁ βουκόλος Ἀγχίσης, τὰν Κύπριν, καὶ τὴν Ἀφροδίτην καταισχύναι λέγει. Ἀγχίσης γὰρ ὁ Αἰνείου πατὴρ, κατὰ τὴν Ἰδαίαν ἐμίγη Ἀφροδίτῃ, καὶ Αἰνείαν ἐγέννησεν, ὡς ἐξῆς ἐπιφέρει. ἕρπε ποτ' Ἴδαν, ἕρπε ποτ' Ἀγχίσαν] ἀντὶ τοῦ ἄπελθε πρὸς τὸν βουκόλον Ἀγχίσην. βουκόλον δὲ καὶ Ὁμηρος τὸν Ἀγχίσην φησίν· ἦ μιν ὑπ' Ἀγχίσῃ τίκτε βουκολέοντι. ἄλλοι δὲ προσυπακούσι τὸ καταισχύναι. ἡ δὲ Ἴδη ὄρος Τροίας. δύναται δὲ καὶ πάντα τὰ ὄρη, τὴν Ἴδης τῇ προσηγορίᾳ καλοῦσι, ἀπὸ τοῦ ἴδη, ἡ βοτάνη· ἢ ἀπὸ τοῦ ἰδεῖν καὶ θεάσασθαι· ἀφ' ὑψηλοῦ γάρ τις ἐφισάμενος, δύναται πόρρω ἰδεῖν. καλεῖται δὲ Ἴδη καὶ ὄρος Κρήτης.

Ερπε ποτ' Αγχίσαν· τίνει δρύες, ὧδε κύπειρος,
Ωδε καλὸν βομβεῦντι ποτὶ σμήνεσι μέλισσαι.
Αρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ωραῖος χἄδωνις, ἐπεὶ κἠμᾶλα νομεύει,

Vade ad Anchiſem: ibi quercus ſunt, hic cyperus eſt.
Hic ſuaviter apes circum alvearia ſuſurrant.
Incipite Bucolicum, ô dulces Muſæ, incipite carmen.
Formoſus & Adonis eſt: etenim & ipſe pecora paſcit,

106. ΤΗΝ. Ωσε σκέπειν τ' Αγχίσᾳ συνιρχόμενον αὐτῇ, ἢ ὥσε σκέπειν σε συνιρχομένῳ τῷ Αγχίσῃ. συταῦθα ὁ κύπειρον, ταπεινὴ βοτάνη, κἠ μὴ δυναμένη σκέπειν σε. κύπειρον δ' τινὲς λέγουσι τὸ παρ' ἡμῖν βέτομον. ΔΡΥ. Εκεῖ δρύες, κρύπτειν σε δηλονότι δυνάμεναι. ὧδε, ἤγουν συταῦθα, κύπειρος. βοτάνη τίς ἐστιν αὕτη μικρὰ κἠ εὐώδης. ὧδε μέλισσαι βομβοῦσιν ἐμμελῶς ποτὶ σμήνεσιν, ἀντὶ τοῦ ἐν τοῖς σίμβλοις, ἐπαγόμεναι δηλονότι τὰς ὀδίτας.

107. ΩΔΕ. Αντὶ δ' κατηγορήσας τ' ἀκρασίας εὑρήσεις τὰς μέλισσας. εἰ πρὸς ἡμᾶς ἥκεις, λέγε δ' βόμβον τὰς ὁδοιπόρους ἐπαγομένας. Σμήνη δ', τὰ τῶν μελισσῶν ἀγγεῖα. ὡς Ησίοδος· Ως δ' ὅταν ἐν σμήνεσι κατηρεφέεσι μέλισσαι. Αλλως. Ο νῦς. ἔρπε ποτ' Ιδαν, ἔρπε ἀντὶ τοῦ ἀπέρχου πρὸς τὴν Ιδην, ὅπου λέγεται ὁ βουκόλος τὴν Κύπριν γνῶναι, δηλονότι αἰσχύναι· ἀπέρχου πρὸς τ' Αγχίσην· οὗτος ἦν ὁ βουκόλος, ὃν λέγουσι συγγενέσθαι αὐτῇ ἐν τῇ Ιδῃ.

109. ΩΡΑ. Αντὶ δ' τρυφεροῦ· ὅθεν κἠ τὸ θρύπτεσθαι, ὡραΐζεσθαι φησὶ Μένανδρος, Ωραΐζεθ· ἡ τύχη πρὸς τὰς βίας. ἢ ἀντὶ δ' ἀκμάζων. ὡς κἠ Ησίοδος· Ωραίαν δ' γυναῖκα τὸν ποτὶ εἶκον ἄγεσθαι. Αλλως. ὁ νῦς. Ωραῖος χ' ὡδωνις] Ηγουν, ἀκμάζων κἠ εὐφυής· ἐπεὶ κἠ μῆλα, ἤγουν πρόβατα, βόσκει, κἠ πλῶκας, ἤγουν λαγωὺς τοξεύει. τοῦτο γὰρ τὸ βάλλει, κἠ πάντα τὰ θηρία, ἢ κἠ θηρία τἄλλα (γράφεται γὰρ κἠ ὕστω) διώκει, τυτέσιν ἀγρεύει. σκώπτει δὲ αὐτὴν ὡς ἐρῶσαν δ' Αδώνιδος. δ' δὲ πλῶκας τὸ ας μακρόν. οἱ γὰρ Δωριεῖς τ' εἰς ες ληγόντων εὐθειῶν τ' πληθυντικῶν, ὁμοίως παροξύνουσι κἠ μακρὸν ἔχουσι τὸ α, θάας, τρώας. ὅτι τὰς παρ' ἡμῖν εἰς ες ληγούσας εὐθείας τ' πληθυντικῶν ἐκεῖνοι λέγε τ' αι προφέρουσιν. Ωραῖος χ' ὡ' δωνις] Ισορία. Κινύρα δ' Απόλλωνος, κἠ Σμύρνης θυγάτηρ Μοῖρα, ἥτις κατὰ μῆνιν Αφροδίτης ἠράσθη τοῦ πατρὸς, ὅτι λύσασα τὰς τρίχας, ὑδὲ Αφροδίτῃ ἔφη ἔχειν τοιαύτας· ἐλάνθανε δὲ τ' πατέρα σολιζομένη, κἠ σωναμιγνυμένη ὡς θεράπαινα. ὕστερον δὲ ἐγκυμονοῦσα, κἠ γενῶσα τ' Αδωνιν, ἐφωράθη· ἐφ' οἷς αἰσθομένη, ἢ αἰσχυνομένη, ἠύξατο εἰς ὁμώνυμον φυτὸν μεταλλαγῆναι.

Καὶ πῶκας βάλλε, κὴ θηρία τἄλλα διώκε. 110
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αὖτις ὅπως σᾶσα Διομήδεος ἄσσον ἰοῖσα,
Καὶ λέγε, Τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχου μοι.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι, 115
Χαίρετ'· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις ἐκέτ' ἐν ὕλαν,
Οὐκέτ' ἀνὰ δρυμούς, ἐκ ἄλσεα. χαῖρ' Ἀρέθοισα,

110 Et lepores figit, & feras alias perſequitur.
Incipite Bucolicum, ô dulces Muſæ, incipite carmen.
Age, conſiſte iterum ad Diomedem prope accedens,
Et dic, Paſtorem vici Daphnidem: ſed pugna mecum.
Incipite Bucolicum, ô dulces Muſæ, incipite carmen.
115 Vos ô lupi, vos cervarii lupi, & in luſtris degentes urſi,
Valete: ego Daphnis bubulcus vobiſcum non amplius in ſylvis,
Non inter arbuſta, nec nemora ero: vale Arethuſa,

112. ΑΥΤ. Τινὲς ἀθετοῦσιν, ἀλλ' ἀμαρτάνουσι. τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων, ὡς φησι Λεπτίνης, ὁμοίως ἡμῖν προφέρουσιν οἱ Δωριεῖς. Ἄλλως. Αὖτις ὅρα ὅπως ἴσασα σήσῃ πλησίον τοῦ Διομήδους, κὴ λέγε, ὅτι τὸν Δάφνιν νικῶ τὸ βυκόλον. ἀλλὰ σὺ μάχεσαι, ἢ μάχου μοι.

115. Ω ΛΥ. Οὐ μάτην φωλάδας καλεῖ, ἀλλ' ὅτι, ὡς φησι Θεόφραστος κὴ Σώπατρος ἐν τῷ περὶ ἄρκτων, φωλεοῖς οἱ ἄρκτοι χρῶνται, κὴ πολὺν φωλεύσι χρόνον· ἢ ὅτι μόναι τῶν ἄλλων θηρίων οἱ ἄρκτοι τίκτουσι, κὴ φωλεοῖς ἐπικάθηνται· ἢ φωλάδες αἱ κατάσκιοι.

116. ΧΑΙ. Ὡς ἀπόδημῶν τὸ ζῶης τοῦτο φησί. τὸ γὰρ χαίρειν, ἐνίοτε μὲν ἐπὶ ἀποδημίας λέγεται, ἐνίοτε δὲ προσαγορεύουσιν ἁπλῶς σημαίνον. ὁ βυκόλος ὑμῖν ἐγὼ ὁ Δάφνις, ἐκέτι κατὰ τὴν ὕλην, ἀναγραφήσομαι δηλονότι, ἐκέτι κατὰ τὰς δρυμὰς, ἢ κατὰ τὰ ἄλση. ἐπὶ τοῦ αὐτοῦ λέγει· ὕλη κὴ ἄλσος· δρυμὸς δὲ, ὃς κὴ δρυμὼν λέγεται.

117. ΑΡΕ. Πηγὴ ἐν Συρακούσαις τῆς Σικελίας, εἰς ἣν εἰσρεῖ ὁ ἐξ Ἀρκαδίας Ἀλφειὸς ποταμός. ἢ Ἀρέθουσα κρήνη ἐν Συρακούσαις, ἢ ἐν Σικελίᾳ, ἣ φασὶ λαβὼ πελάγους Ἀλφειὸν ἥκειν· ὡς φησιν Ἴβυκος παρισορῶν μὲν τὸ ὀλυμπίας φιάλης. Ἄλλως. ὅτι Ἀρέθουσα Σικελικὴ κρήνη, πρόδηλον. δοκεῖ δ' ὑπ' Ἀλφειῷ πληρᾶσθαι. ἔστι γὰρ κὴ ἐν Εὐβοίᾳ Ἀρέθουσα· κὴ ἄλλη ἐν Σάμῳ. Παρ' κόρακος πέτρη, κὴ ἐπὶ κρήνῃ Ἀρεθούσῃ. χαριέντως δὲ κὴ Ἐπαφρόδιτος φησιν, ὅτι Ἀρεθούσας καλοῦσι τὰς κρήνας. Ἄλλως. Ἀρέθουσα πηγὴ ἐν Σιλελίᾳ, ἧς ἔλεγον ἐρᾶν τὸν Ἀλφειὸν ποταμόν.

118. ΠΟΤ.

Καὶ ποταμοί, τοὶ χεῖτε καλὸν ἀπὸ Θύμβριδος ὕδωρ.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τοὺς Θ. ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ Πὰν Πάν, εἴτ' ἐσὶ κατ' ὄρεα μακρὰ Λυκαίω,

Et vos fluvii, qui juxta pulchram Thymbridis undam fluitis.
Incipite Bucolicum, ô dulces Musæ, incipite carmen.
Daphnis ego ille, qui boves hic pascebam:
Daphnis ego qui tauros, qui vitulos hic potabam.
Incipite Bucolicum, ô dulces Musæ, incipite carmen.
O Pan Pan, sive nunc es in monte alto Lycæo,

118. ΠΟΤ. Οἵτινες χεῖτε καλὸν ὕδωρ, ἢ καθαρὸν, ἢ μὴ κάλλιστον ῥέον. ΘΥΜ. Ποταμὸν Σικελίας εἶναι φασὶ καὶ τοῦτον. Ἄλλως. Θύμβρις κατά τινα γλῶσσαν ἡ θάλασσα. τινὲς δὲ Σικελίας ποταμὸν ἔφησαν Θύμβριδα. ἢ Θύμβρις, ποταμὸς Σικελίας, ἐφ' ᾧ μυθεύεται Ἡρακλῆς τὰς ἐν τῆς Ἐρυθείας βοῦς ἐλαύνων συνταῦθα ἀφικέσθαι· γενομένου δὲ χειμῶνος ἀνυπερβλήτου χῶσαι τὸν ποταμὸν, καὶ ἐπίπεδον ποιῆσαι, ἐφ' ὃν οἱ Κέφαλοι ἀφιδείκνυνται κατοικοῦντες. Ἀσκληπιάδης δὲ ὁ Μερλεανὸς, ἀφ' οὗ δ γράφει Δύμβρις. ἡ κατὰ γλῶσσαν θάλασσα. ἄλλοι δὲ ὑπὸ Τύμβριδος. ἔσι δὲ καὶ ὄντος ποταμὸς Σικελίας.

120. ΔΑΦ. Κατ' ἐπανάληψιν τοῦτο λέγεται πρὸς τὸ βουκόλος ὕμμιν ἀποδεδόμην. ἡ γὰρ συνέχεια τοῦ λόγου ἕτως ἔχει. ὁ βουκόλος ὑμῖν ἐγὼ ὁ Δάφνις, ὑκέτι ἀναγραφήσομαι κατὰ τὴν ὕλλαν, καὶ τὰς δρυμὰς, καὶ τὰ ἄλση. ὁ Δάφνις ἐγὼ ὅτος σκιῶσος ὁ τὰς βοῦς συνταῦθα βόσκων· ὁ Δάφνις ὁ τοὺς ταύρους, καὶ τὰς δαμάλεις συνταῦθα ποτίζων. τὸ δὲ χαῖρε Ἀρέθουσα, καὶ τὸ ἑξῆς, μέχρι τοῦ, Δάφνις ἐγὼ, ἀφὶ μέσου.

123. Ω ΠΑΝ. Ποιητικὴ ἐπανάληψις. εἰ μή τις πιθανεύοιτο λέγων, ὡς ὁ νοῦς ἐσὶ τοιοῦτον· ὦ τὸ Πᾶν σὺ ὦ Πάν· ἵνα τὸ μὲν πρῶτον ἀθετηθῇ, τὸ δὲ δεύτερον ὀξυτονηθῇ. Τὸ δὲ Πᾶνα, οἱ μὲν Πηνελόπης καὶ Ὀδυσσέως, ἢ Ἑρμοῦ, ἄλλοι δὲ Διὸς καὶ Καλλιστοῦς, ἕτεροι δὲ Αἰθέρος καὶ Οὐρανίδος, ἢ Νηρηίδος, ἔνιοι δὲ οὐρανοῦ καὶ γῆς. ΛΥΚ. Ὑπὸ τῷ Λυκαίῳ φησὶ χωρίῳ, καλεομένῳ Καλλιστοῦς, εἰς ὃ ἐλθοῦσαν τὴν Λυκάονος Καλλιστοῦ θυγατέρα ἄρκτον οὖσαν, ὑπὸ Ἑρμοῦ τραφῆναι. ὃν φησιν Ἄρατος ἐν οὐρανῷ ἱσερίζειν.

Εἴτε τύ γ' ἀμφιπολεῖς μέγα Μαίναλον· ἔνθ' ὑπὸ νᾶσον
Τὰν Σικελάν, Ἑλίκας ὃ λίπε ῥίον, αἰπύ τε σᾶμα
Τἰῶο Λυκαονίδαο, τὸ κὴ μακάρεσσιν ἀγαστόν.

Λήγετε βωκολικᾶς, μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Ἐνθ' ὦναξ, κὴ τάνδε φέρ' εὐπάκτοιο μελίπνευ
Ἐκ κηρῶ σύριγγα καλὸν, ὦδὲ χεῖλο ἑλικτάν.

Seu per magnum Mænalum obambulas, veni in insulam
Siculam, & relinque promontorium Helices, & sublime sepulcrum
Illud Lycaonidæ, quod & Diis beatis est venerabile.

Desinite Bucolicum carmen, Musæ agite, jam desinite.
Veni rex, & hanc aufer dulcem bene compactam
E cera fistulam pulchram, circa labrum apte inflexam.

124. ΜΑΙ. Μαίναλον ὄρο Ἀρκαδίας, ἀπὸ Μαινάλυ τ Λυκάονο υἱῦ Ἑρμῶ, ἔνθα ἡ Ἀταλάντη τῷ Ἰάσονι παρέχετο δόρυ ξίνιον·

Δεξιτερῇ σ' ἔλεν ἔγχος ἐχηβόλον ὄρρ' Ἀταλάντη
Μαινάλῳ ἔν ποτε οἱ ξεινήϊον ἐγγυάλιξεν.

125. ΕΛΙ. Τὸ ὄρος τὸ ἀκρωτήριον, ὦδὲ τὸ ἐπιῤῥεῖν τοῖς τ ὑετῶν ὄμβροις, κὴ πηγῶν ὕδασιν· ἢ ὄνομα πόλεως, πρὸς τῷ ὀρίῳ τῷ Ἀχαϊκῷ, ἢ Αἰπύτυ τάφυ κεφαλή. κὴ Ὁμηρο· Αἰπύτιον παρὰ τύμβον· εἰς ὃν φασι τὰ εἰσερχόμενα ζῶα ἄγονα γίνεδ.

126. ΑΓΑ. Ἦγυν ἔκπληξιν ἔχον, διὰ τὰ ἐν αὐτῷ γινόμενα. Ἄλλως. Ὁ νῆς. Ὦ Πὰν Πάν. εἴτε εἰς κατὰ τὰ ὄρη τὰ μακρὰ, ἦγυν, τὰ ἐπὶ πολὺ διήκοντα τ Λυκαίυ· ὄρο δὲ Ἀρκαδίας τὸ Λύκαιον· εἴτε σύγε ὦδιέρχῃ τὸ μέγα Μαίναλον· ὄρο κὴ τῦτο Ἀρκαδίας· ἐλθὲ ἐπὶ τὴν νῆσον τὴν Σικελήν, ἀντὶ τ τὴν Σικελικήν· τ Ἑλίκης δὲ τὸ ῥίον κατάλιπε, κὴ τὸ ὑψηλὸν μνῆμα ἐκεῖνο τ υἱῦ τ Λυκάονο, ἦγυν τ Μαινάλυ. ἀφ' ὃ τὸ ὄρο Μαίναλον, ὃ κὴ τοῖς θεοῖς ἐστι θαυμαζόμενον. τὸ δὲ ῥίον ἀκρωτήριον ἐστὶ τ Πελοποννήσυ, ἐναντίως τῷ καλυμένῳ Ἀντιῤῥίῳ τετραμμένον.

127. ΛΗΓ. Ὡσπερ ἤρξαδε, ὅτω κὴ λήγειν ποιήσατε. παρακελευσματικὸν ἐπιῤῥῆμα τὸ ἴτε, ἀντὶ τ ἄγετε.

128. ΕΝΘ. Ἐλθὲ ὦ ἄναξ, κὴ τήνδε τὴν καλὴν σύριγγα τὴν γλυκύφωνον, τῦτο δὲ τὸ μελίπνευ, ἐκ κηρῦ εὐπήκτυ ὖσαν ὦδὲ τὸ χεῖλο ἑλικτὴν, ἦγυν ὦδιελημμένην, φέρε, ἀντὶ τ λάβε. ὄντως γὰρ ἐγὼ ὑπὸ τ ἔρωτο ἤδη ἕλκομαι εἰς τ ᾠδήν. εὐπήκτον δὲ λέγει τ κηρὸν, ὡς εὐκόλως πηγνύμενον, κὴ μελίπνευν, τὴν ὀδωδυίαν διὰ τ κηρόν. Ἄλλως, τὸ ἑξῆς, Λάβε τὴν σύριγγα τὴν ἐκ κηρῦ εὐπήκτυ ὦδὲ τὸ χεῖλο εἰλυμένην ἐν τῷ συρίζειν.

Ἢ γὰρ ἐγὼν ἐς Ἔρωτος ἐς ᾍδαν ἕλκομαι ἤδη. 130
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι·
Ἃ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
Πάντα δ' ἔναλλα γένοιτο, καὶ ἃ πίτυς ὄχνας ἐνείκαι·
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὼς κύνας ὠλαφοὶ ἕλκοι, 135
Κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.

130 Nam ego certe ab amore jam trahor ad orcum.
Definite Bucolicum carmen, Musæ, agite, jam definite.
Nunc violas feratis rubi, vos spinæ feratis.
Pulchra narcissus juniperis floreat:
Omnia denique contraria fiant, & jam pinus pira ferat:
135 Daphnis quoniam moritur: Jam cervus canes trahat captivos,
Et ex montibus ululæ cum luscinijs cantu certent.
Definite Bucolicum carmen, Musæ, agite, jam definite.

132. ΒΑΤ. Ἡ βάτος θηλυκῶς λέγει, ὁμοίως σὺ ταῦθα καὶ ἡ νάρκισσος· παρὰ δὲ τῷ Ἀριστοφάνει ἀρσενικῶς λέγεται.

133. ΑΡΚ. Ἀρκεύθου, εἴδος φυτοῦ ἀκανθώδους. τὰ δὲ κομάσαι ἀντὶ τοῦ ἀναθῆλαι. τὰ ἀπαρέμφατα ἀντὶ προστακτικῶν. Ἄλλως. Νῦν δ' ἴα μὲν φορέοιτε. νῦν δὲ ἴα μὲ αἱ βάτοι φορέοιτε, ἀντὶ τοῦ φέρετε, τετέχοι, γινᾶτε, σατρέφετε, φέρετε δὲ αἱ ἄκανθαι. ἃ δὲ καλὴ νάρκισσος, κομάσαι, ἀντὶ τοῦ βλαστησάτω ἐπὶ ταῖς ἀρκεύθοις. ἀκανθώδης φυτὸν ἡ ἄρκευθος. τὸ δὲ κομάσαι, γίνεται ἀπὸ τοῦ κομέω κομῶ, ὃ λέγεται ἐ μόνον ἐπὶ τριχῶν, ἀλλὰ καὶ ἐπὶ φυτῶν. πάντα δὲ ἐναλλαγμένα γενέσθω, κατὰ τὸ· ἄνω ποταμῶν χωροῦσιν αἱ πηγαί.

134. ΟΧΝ. Ἤγουν ἄπια ἐνείκαι, ἀντὶ τοῦ ἐνεγκάτω, γενησάτω, ἐκθρεψάτω, ἐπεὶ ὁ Δάφνις ἀπεθνήσκει. Ὄχνας, ἀπίους καὶ ἀχράδας, ἀχλάδας. ἀχλάδας μὲ διὰ τὸ ἐν τῷ ἐθίζεσθαι, ὄχλησιν οἱονεὶ ἐμποιεῖν, ὀχλάδας τινὰς ὔσας· ὄχνας δὲ, ἀπὸ τοῦ ἄγχειν δοκεῖν· ἀπίους δὲ, ὅτι πρῶτον ἐν Πελοποννήσῳ δοκεῖσι φῦναι, ἢ ἐλέγετο Ἀπία.

136. ΣΚΩ. Ἀλέξανδρός φησι τὰς σκῶπας ἐκ ἐπιτηρεῖς τῇ φωνῇ· διὸ καὶ παρ' Ὁμήρῳ φησὶν ὀρθῶς δοκεῖν γράφειν, Σκῶπές τ' ἴρηκές τε. Οὐ δεῖ γὰρ φησι γράφεσθαι χωρὶς τοῦ σ, οἱ γὰρ σκῶπες φωνὴν ἀφιᾶσι. Καλλίμαχος δέ φησι, φθέγγεται, ὥσπερ ἐπισκώπτων τῇ φωνῇ, ὅθεν καὶ ὕτω καλεῖται. Τυραννίων δὲ φησι σκῶπας τὰς νυκτικόρακας. οἷον, σκίωπας, τὰς ἐν σκιᾷ ἔχοντας τὴν ὄπα, ἤγουν ἐν νυκτὶ ἔχοντας τὴν φωνήν. Ἄλλως. καὶ τὼς κύνας ὠλαφοὶ ἕλκοι. ἀντὶ τοῦ, καὶ τὰς μαστὰς τῶν κυνῶν, ὁ ἔλαφος ἑλκέτω· καὶ ἐκ τῶν ὀρῶν οἱ σκῶπες

τοῖς

Χὼ μέν, τόσσ' εἰπὼν ἀπεπαύσατο· τὴ δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι· τὰ γὰρ μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρέων. χὼ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα
Τὸν μούσαις φίλον ἄνδρα, τὸν οὐ νύμφαισιν ἀπεχθῆ.

Λήγετε βουκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Καὶ τὺ δίδυ τὰν αἶγα, τὸ τε σκύφον, ὥς μιν ἀμέλξας,
Σπείσω ταῖς μούσαις. ὦ χαίρετε πολλάκι μῶσαι,
Χαίρετ'· ἐγὼ δ' ὔμμιν κὴς ὕστερον ἄδιον ἀσῶ.

Et ille quidem tantum locutus defiit. At Venus
Volebat ipſum erigere: verum omnia fila defecerant
A Parcis: ſic Daphnis tranſiit flumen, & unda obruit
Muſis dilectum virum neque Nymphis ingratum.

Deſinite, Bucolicum carmen, Muſæ, agite, jam deſinite.
Et tu da capram, atque poculum: ut ipſam mulgeam,
Ac Muſis libem. ô ſalvete plurimum Muſæ,
Salvete, ego vero vobis & poſthac dulcius canam.

τοῖς ἀηδόσι γαρύσαιντο, ἀντὶ δὲ τοῖς ἔριν φωνῆς ἐλθέτωσαν. σκῶπας δὲ λέγουσιν εἶναι τὰς νυκτικόρακας.

138. ΑΠΕ. Ἡ ἀπεπαύσατο. εὐφήμως τὸ ἀποθανεῖν ἀναπαύσασθαι ἔφη. καὶ Ὅμηρος· Ὡς ὁ μὲν αὖθι πεσὼν, κοιμήσατο χάλκεον ὕπνον.

139. ΛΙΝ. Ἐπιπλεράσῃ τὸ χερσόν. καὶ Ὅμηρος· Γεινομένῳ ἐπέκησε λίνῳ, ὅτε μιν τέκε μήτηρ. Λίνον δὲ οἱ ποιηταὶ ἀντὶ ἐρίου συνάπτουσιν, ὅτι τὸ λίνον ἐκ γῆς, καὶ αὗται δὲ αἱ μοῖραι ἐκ γῆς ἐπικλώθουσι τοῖς ζώοις τὴν ἐκ γῆς ἀνάλυσιν.

140. ΕΒΑ. Τουτέστιν, ἀπέθανε, καὶ τὸ Ἀχέροντα δηλοῖ.

141. ΦΙΛ. Καθὸ πρῶτος ἐράτο βουκολικῆν. φίλεν ἄνδρα· ἐπεὶ πάσας οἰκείως διέτριβε. Ἀλλως. ὁ νοῦς, καὶ ὁ μὲν τοσαῦτα εἰπὼν, ἀπεπαύσατο, ἤγουν ἀπέπνευσεν, ἐτελεύτησε τὸ βίου· τοῦτον δὲ ἡ Ἀφροδίτη ἤθελεν ἀνορθῶσαι. ἤγουν, ἀνακαλέσασθαι, ἀναζωῶσαι. τάγε μὴν λίνα, τουτέστι τὰ νήματα τὰ ὑπὸ τῶν μοιρῶν ἐπ' αὐτῷ κλωθόμενα πάντα λελοίπει, ἤγουν, ἐξέλιπον, ἐπαύσαντο· καὶ ὁ Δάφνις δέδεκται τὸ ῥεῦμα, τοῦ Ἀχέροντος δηλονότι. ἔκλυσεν, ἤγουν ἐκάλυψεν ἡ δίνη, τουτέστιν ἡ συγροφὴ τῶν ῥευμάτων τοῦ Ἀχέροντος, τὸν ἄνδρα τὸν ὑπὸ τῶν Μουσῶν φιλούμενον· ὡς τῶν ᾠδῶν δηλονότι τῶν προσφιλῶν αὐταῖς ἐπιμελούμενον. Τὸν δὲ νύμφαισιν ἀπεχθῆ, ἤγουν μὴ μισούμενον ταῖς νύμφαις, ἀλλὰ καὶ ὑπ' αὐτῶν δηλονότι φιλούμενον.

143. ΣΚΥ. Ἤγουν, τὸ ποτήριον. ὡς ἂν ἀμέλξας, σπονδὴν ποιήσω ταῖς Μούσαις. εἶτα ἀπευθὺς πρὸς τὰς Μούσας, καὶ φησίν· ὦ Μοῦσαι, χαίρετε πολλάκις, τουτέστιν, ἀσπάζομαι ὑμᾶς πολλάκις. ἐγὼ δὲ χάριν ὑμῶν καὶ εἰς ὕστερον, ἤγουν εἰς τὸ ἑπιὸν, ᾄσω ἡδύτερον.

ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
Πλῆρες δὲ σταδόνων· κὴ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
Ἀδείαν. τέτλιγος ἐπεὶ τύγε φέρτερον ᾄδεις.
Ἠνὶ δέ τοι τὸ δέπας. θᾶσαι φίλος ὡς καλὸν ὄσδει·
Ὡραῖαν πεπλύσθαί νιν ὅπᾳ κεράναισι δοκασεῖς. 150
Ὡδ' ἴθι Κισσαίθα. τὺ δ' ἄμελγέ νιν. αἱ δὲ χίμαιραι
Οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὔμμιν ἀνασσῇ.

CAPRARIUS.

Utinam tibi melle plenum ſit pulchrum os,
Plenum & favis: atque comedas ficum ex Ægilo decerptam
Dulcem: ſuavius enim canis quam cicada.
En tibi poculum: contemplare amice, quàm ſuaviter oleat.
Horarum in fontibus ipſum collutum eſſe dices.
150 Huc veni Ciſſætha: jam tu mulge hanc: vos vero capellæ
Nolite ſaltare, ne forte hircus in vos inſurgat.

146. ΠΛΗ. Αὐλωνυμία τό τοι. εἴθε γένοιτο τὸ καλόν σου στόμα, ὦ Θύρσι, μέλιτος πεπληρωμένον.

147. Πλῆρές τοι σταδόνων. Γράφεϊ καὶ πλῆρες ὄ. σταδόνες ὄ τὰ ἐκ τῶν κηφήνων κηρία, ὡς φησιν Ἀριστοτέλης. Θειαίτητος ὄ, τὰς κηρὰς τὰς ἔχοντας τῶν κηφήνων τὰς γόνας. οἱ τινες ἡδὺ ποιοῦσι βρῶμα. οἱ δὲ κοινότερον ἐπὶ τῶν κηρίων, ὧν τὸ μέλι ἐσθίεται. ΑΙΓ. Αἰγίλος, δῆμος τῆς Ἀττικῆς ἀπό τινος φυλῆς ἥρωος Αἰγίλου. ὅτι δὲ αἱ Ἀττικαὶ ἰσχάδες ἡδεῖαι καὶ Δίων μαρτυρεῖ. ἔστι δὲ καὶ Λακωνικὸν χωρίον Αἴγιλον. τινὲς δέ ὅτι ἐστὶ καὶ νῆσος μεταξὺ Κρήτης καὶ Λακωνικῆς οὕτω καλουμένη. Ἄλλως. ΠΛΗ. Ἠγουν μέλιτος κηρίου. ᾧδιστον δὲ συνταῦθα τό τοι. καὶ ἀπ' Αἰγίλου εἴθε ἰσχάδα ἡδεῖαν ἀντὶ τοῦ ἀπὸ τῆς Ἀττικῆς. Αἴγιλος γὰρ δῆμος ἐν ταῖς Ἀθήναις.

148. ΦΕΡ. Ἠγουν βέλτιον τέτλιγος.

149. ΗΝΙ. Ἠγουν ἰδὲ τὸ δέπας, θέασαι φίλος, ὅπως καλὴν ὀσμὴν πέμπει.

150. ΚΡΑ. Ἐπὶ κρήναις ταῖς τῶν Ὡρῶν δόξεις ἀποπεπλῦσθαι. ἀντὶ τοῦ ἔαρι· ἐπεὶ ἀνθεῖ πάντα τότε. Ἄλλως. Δοκασεῖς· ἤγουν δόξεις· νομίσεις πεπλῦσθαι αὐτὸ, ἐπὶ ταῖς πηγαῖς τῶν Ὡρῶν, ἅτινες εἰσὶ δηλονότι ὡραῖαι.

151. ΙΘΙ. Ἠγουν δεῦρο ἐλθὲ Κισσαίθα, ἢ ἡ πρὸς τὸ γυναῖκα διάπυρος, καὶ θερμὴ, ἀπὸ τοῦ κισσῶ τὸ γυναικῶ, καὶ τοῦ αἴθω τὸ καίω. εἰ δὲ κιναίδα γράψεις, κιναίδα ἐστὶν ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος, ἤγουν, ταχεῖα αἰξ. ἀπὸ τοῦ κινῶ, καὶ τοῦ αἴθω τὸ καίω. Ἄλλως, Κισσαίθα ὄνομα αἰγός· ἀπὸ τοῦ κισσῶ καὶ τοῦ αἴθω, ἡ κισσὸν λευκὸν καπνιζομένη. αἴθει γὰρ τὸ λαμπρόν. ἀπὸ δὲ τοῦ λαμπροῦ γίνεται μεταληπτικῶς τὸ λευκόν. ΤΙ Δ. Σὺ δὲ ἄμελγε αὐτήν. ΑΙ. Τῆς συνόμου δηλονότι στερόμεναι.

152. ΜΗ. Τὸ ὅ, ἀπὸ κοινοῦ. ἤγουν, ὅ μὴ ἐπιδῇ δηλονότι ὁ τράγος ὑμῖν.

ΥΠΟ-

ΥΠΟΘΗΣΙΣ
τῦ Δευτέρυ Εἰδύλλιυ.

Ὑπόκειται Σιμαίθα, Δέλφιδος Μυνδίυ τινὸς ἐρῶσα· ἣν ἐκ παλαίστρας φίλτροις τε καὶ φαρμάκοις, διά τινος θεραπαίνης Θεστύλιδος ὑποδιακονυμένης, ἐφ' ἑαυτὴν πειρᾶται μεθάγειν. ἐπικαλυμένη τὴν Σελήνην καὶ τὴν Ἑκάτην, ὡς ἐπὶ τῷ ἔρωτι συμβαλλομένας νυκτερινὰς θεάς. Τὴν δὲ Θεστύλιδα ὁ Θεόκριτος ἐκ τῶν Σώφρονος μετήνεγκε μίμων.

ARGUMENTUM
IDYLLII II.

Inducitur Sematha, Delphidis cujusdam Myndii amore correpta: quam ex paleſtra amatoriis incantationibus & veneficiis, Theſtylidis cujuſdam ancillæ miniſterio, ad ſe traducere conatur, advocatis in auxilium Luna & Hecate, utpote Deabus nocturnis amorem adjuvantibus. Theſtylida vero Theocritus ex Sophronis Mimis deſumpſit.

ΦΑΡΜΑΚΕΥΤΡΙΑ,
Εἰδύλλιον β'.

Πᾶ μοι ταὶ Δάφναι; φέρε Θέστυλι. πᾶ δὲ τὰ φίλτρα;
Στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,
Ὡς τ' ἐμοὶ βαρὺν ἔντα φίλον καταδύσομαι ἄνδρα,
Ὃς μοι δωδεκάταιος ἀφ' ὧ πάλας ὐδέποθ' ἥκει,

PHARMACEUTRIA,
IDYLLION II.

UBI mihi *ſunt* lauri, Theſtyli; ubi ſunt philtra?
Cinge calicem hunc purpurea ovis lana,
Ut amatorem meum, qui me excruciat, carmine magico perſequar.
Qui miſer jam toros duodecim dies à me abeſt,

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, Φαρμακεύτρια. κέχρηται δὲ ὁ Θεόκριτος ἐν τούτῳ Δωρίδι διαλέκτῳ. προλογίζει δὲ Σιμαίθα.

2. ΣΤΕ. Στεφάνωσον τὴν κελέβην. κελέβη δέ ἐστιν ὄνομα πόλεως, ἔστι δὲ καὶ ποτήριον ξύλινον κυλικῶδες. Εὐφορίων ἐν ποτηριογλύπτῃ. Ὅς τις ἐμὴν κελέβην Αλυσηίδα μοῦνον ἀπούρας. ΟΙ. Προσάτυ ἄιθε, ἀντὶ δὲ ἐρία ὡς συνεργοῦντος δὲ τούτυ πρὸς τὰς Φαρμακείας θεραπεύεται. Αλλως. Στεφάνωσον τὴν κελέβην, τῷ λεπτοτάτῳ καὶ ἐξαιρέτῳ ἐρίῳ τῦ προσάτυ, τῷ φοινικῷ· ἦγυν τῷ κοκκίνῳ. ξύλινον δὲ ποτήριον φασὶν εἶναι τὴν κελέβην.

3 Ὡς τ' ἐμοὶ βαρὺν ἔντα] ἵνα τ'

Οὐδ' ἔγνω πότερον τεθνήκαμες ἢ ζοοὶ εἰμές,
Οὐδὲ θύρας ἄρραξεν ἀνάρμοθ. ἦ ῥά οἱ ἄλλα
Ὤιχετ' ἔχων ὁ τ' Ερως ταχινὰς φρένας, ἄ τ' Αφροδίτα.
Βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίϛραν
Αὔριον, ὥς νιν ἴδω, κἠμέμψωμ' οἷά με ποιεῖ.
Νῦν δέ νιν ἐκ θυέων καταθύσομαι. ἀλλὰ Σελάνα,

5 Neque scit utrum mortui simus, an vivi,
Nec fores pulsando fregit crudelis: nimirum illi alio
Abiit habens Amor levem animum & Venus.
Ibo ad Timageti gymnasium
Cras, ut ipsum videam; & cum eo expostulabo, quod ita mecum agit.
10 Nunc magicis sacris ipsum incantabo. Sed tu ô Luna,

† ἐμὸν φίλεν ἄνδρα βαρύνοντά μι, καταθύσομαι, ἤγουν καταϛοντεύσω, ἢ καταϛοντεύσα, ἐν πυρὶ καίουσα τὰ ἐπὶ τοῦτο σωτεινόμενα φάρμακα. ὥσπερ τὸ λείβειν λέγεται μὴ κὴ ἀντὶ τοῦ σπένδειν, λέγεται ὴ κὴ ἀντὶ τοῦ χεῖν ἁπλῶς· οὕτω κὴ τὸ θύειν λέγεται μὴ κὴ ἀντὶ τοῦ τῶν παρόντων ἀπάρχεσθαι κατὰ τὴν τῶν παλαιῶν χρῆσιν. ὅτοι γὰρ ὑκ ἐπὶ τοῦ σφάϛειν τοῦτο ἐτίθεων, ὡς οἱ νεώτεροι, ἀλλ' ἐπὶ τοῦ ἀπάρχεσθαι τῶ παρόντων, τὸ ἔρδειν ὴ κὴ τὸ ῥέζειν, ἔλεγον ἐπὶ τῶν σφαγίων. λέγεται δὲ κὴ ἀντὶ τοῦ καίειν ἁπλῶς, κὴ ἐν πυρὶ τιθέναι τι, καθὸ λέγεται ἐνταῦθα. Ινα καταθύσομαι. ὁριϛικὸν ἀντὶ ὑποτακτικοῦ, ὡς ἐν τῷ, ἵνα εἰδορμὴ ἄμφω. βαρυνεῦντα, ἀντὶ τοῦ βαρύνοντα, μέλλων ἀντὶ ἐνεϛῶτος. ὅτω γὰρ συνεφώνη τῷ μέτρῳ βραχὺ ἔχων τὸ ευ. τὰ γὰρ ἀπὸ τοῦ ὑνω ῥήματα, ἐπὶ τοῦ μέλλοντος ἀεὶ βραχὺ τὸ ϑέχρονον ἔχουσιν. οἷον, κρίνω, κριῶ· εὐρύνω, εὐρυνῶ· πλατύνω, πλατυνῶ.

6. APP. Εκρυσεν. ἀράσω, δὶ ἑνὸς ρ. οἱ ποιηταὶ δὲ ὅτε ἴχυσι χρείαν ἐκτεῖναι το α, κὴ ἕτερον ρ προσιθέασιν αὐτῷ· κὴ ἐν τῷ παραλλικῷ ἐκκλίνοντες, τὸ κοινὸν ἄρρασον λέγουσι, τῇ προσθήκῃ τοῦ ρ τὴν ἀρχὴν αὐξοντες.

8. ΠΑΛ. Παλαίϛρα, ὁ τόπος ἔνθα παλαίυσι, καὶ αὐτὴ ἡ πάλη. ἐνταῦθα δὲ ἐπὶ τοῦ προτέρου λέγεται σημαινομένου.

10. ΣΕΛ. Πίνδαρος φησὶν ἐν τοῖς κεχωρισμένοις τῶν παρθένων ὅτι τῶν ἐραϛῶν οἱ μὲν ἄνδρες εὔχονται τὸν ἥλιον, αἱ δὲ γυναῖκες σελήνην. Αλλως. Τὰς ἐρωτι κατεχομένας τὴν σελήνην μετακαλεῖσθαι σύνηθες, ὡς κὴ Εὐριπίδης ποιεῖ Φαίδραν πράτ-ϛουσαν ἐν τῷ καλυμμένῳ Ιππολύτῳ· κατὰ τί δὲ τοῦτο ἔπραττον; ἔνιοι φασὶν, ὅτι ἐπειδὴ σιγηλή ἐϛιν ἡ νύξ· δεῖ δὲ τοῖς κλεπτομένοις ἔρωσι σιγῆς κὴ νυκτός. Μένανδρος, ὦ νύξ· σοὶ γὰρ δεῖ πλεῖϛον Αφροδίτης· ἢ ὅτι καὶ ἡ σελήνη ὡδὲ ἐρωτικήν τινα νενοσηκή. παρὸ κὴ τοῖς τῷ αὐτῷ πάθει κεχρημένοις συμπράσσ. ἢ ὅτι διάπυρος ἡ θεὸς, καὶ τόδε πάθος τοιοῦτο.

11. TIN.

Φαῖνε καλὸν· τὴν γὰρ ποταείσομαι, ἄπυχα δαῖμον,
Τᾷ χθονίᾳ δ' Ἑκάτᾳ, τᾶν κὴ σκύλακες τρομέοντι
Ἐρχομέναν νεκύων ἀνά τ' ἠρία κὴ μέλαν αἷμα.
Χαῖρ' Ἑκάτα δασπλῆτι, κὴ ἐς τέλος ἄμμιν ὀπήδει,

Luceas pulchre: ad te enim convertam carmina placide, ô dea,
Et ad Hecaten ſubterraneam, quam etiam catuli timent,
Cum incedit per mortuorum ſepulcra, & atrum ſanguinem.
Salve Hecate terribilis, & ad finem uſque nobiſcum ſis,

11. ΤΙΝ. Σοὶ γὰρ καλὸν ὕμνον προσυμνήσω, ὦ σελήνη.

12. ΕΚΑ. Τὴν Ἑκάτην χθονίαν φασὶ θεὸν κὴ νερτέρων πρύτανιν, καθὰ κὴ Σώφρων. Ἦραν μιχθεῖσαν Διὶ γεννῆσαι παρθένον. ὄνομα δὲ αὐτῇ θέσθαι Ἀγγελον. ταύτην δὲ μὴ τὴν γένησιν, ὑπὸ ταῖς νύμφαις θρᾶναι παρὰ τῷ Διὸς τρίφωνι. αὐξηθεῖσαν δὲ, κλέψαι τὸ τᾶς Ἥρας μύρον, ᾧ τὸ πρόσωπον αὐτῆς αἴθον ἦν χριόμενον, κὴ δῶναι Εὐρώπᾳ τᾷ Φοίνικος θυγατρί. αἰσθομένην τὴν Ἥραν κὴ ἐφορμῆσαι βυλομένην αὐτὴν κολάσαι, τὶν καὶ τὸ πρῶτον εἰς γυναικὸς τετοκυίας οἶκον καλαφυγεῖν, ἐκεῖθεν δὲ πρὸς ἄνδρας νεκρὸν φέροντας. ὅθεν τὴν μὲ Ἥραν ἀποκῆναι, τὸ δὲ Δία, τὰς Καβείρας κελεῦσαι ἀναλαβόντας καθάραι· ἐκείνας δὲ ἐπὶ τὴν Ἀχερουσίαν λίμνην ἀπαγαγόντας ἀγνίσαι. ὅθεν τὴν θεὸν ἀποκεκληρῶσθ τοῖς τεθνεῶσι, κὴ καταχθονίαν φασίν. Ἄλκως. Τᾷ Δήμητρι μιχθεὶς ὁ Ζεὺς, τεκνοῖ Ἑκάτᾳ διαφέρουσαν ἰσχύϊ κὴ μεγέθει. ἣν ὑπὸ γὴν πεμφθῆναι ὑπὸ τᾶ πατρὸς, πρὸς Περσεφόνης ἀναζήτησιν. κὴ νῦν Ἀρτεμις καλεῖ), κὴ φύλαξ, κὴ δαδοῦχος, κὴ φωσφόρος, κὴ χθονία. ΣΚΥ. Διὰ τὸ σκύλακας ἐκφέρεσθαι θεῖπτα τῇ Ἑκάτῃ. Ἀριστοφάνης ἐν Δαιταλεῦσι. Τί ᾗ κυνίδιον λιπρὸν λύκον ἐπρίω τῇ θεᾷ εἰς τὰς τριόδους; Ἄλκως. Σκύλακες τὰ μικρὰ τῶν κυνῶν. ὑποχορισικὸν γὰρ ὁ σκύλαξ. ἐνταῦθα δὲ σκύλακες, ἀντὶ τᾶ κύνες. τὴν Ἑκάτην φασὶ τὴν αὐτὴν εἶναι τᾷ Περσεφόνῃ· τὴν Ἑκάτην δὲ κὴ τὴν σελήνην ἐπικαλεῖ) ὡς νυκτερινὰς θεὰς, κὴ τὰ κατὰ τὴν νύκτα πραλτόμενα ἐφορώσας.

13. ΗΡ. Ἠρία οἱ τάφοι, ὡς δὲ τὸ ἐνηρίσθαι τῇ γῇ· ἢ παρὰ τὴν ἐπιχεομένην τοῖς νεκροῖς ἔραν, ἤγουν γῆν, ἥ ἐστιν ἱερά.

14. ΔΑΣ. Ἢ ἦ ὐκ ἄν τις διαπελάσειεν, ἢ τὸ δὰ ἐπιταλικὸν, πολυπίλασε· ἢ ἀντὶ τᾶ πολεμικὴ· ἦ ἴγκει) ἡ δαΐς, τυτέστιν ἡ μάχη· ἢ προσπελάζουσα ταῖς δασὶ, τυτέστι φωσφόρος ἐπεὶ ἡ αὐτὴ ἐστι τῇ σελήνῃ. Ἄλκως. Νεκύων ἀνά τ' ἠρία] ἤγουν διὰ τᾶ μνημάτων, κὴ ᾧ μέλανος αἵματος τᾶ νεκρῶν. δασπλῆτι δὲ, σφόδρα πλησιάζουσα. κὴ ἐς τέλος ἄμμιν ὀπήδ[ει] ἤγουν μέχρι τέλους παράμεν. τὰς μαγείας ταύτας ποιοῦσα χείρας ᾄδειν ὅτε τᾶ μαγειᾶν τᾶ Κίρκης, ὅτε τᾶ μαγειᾶν τᾶ Μηδείας, ὅτε τᾶν μαγειᾶν τᾶ ξανθᾶς Περιμήδης.

15. ΜΗ.

Φάρμακα ταῦθ' ἕρδεσα χερείονα μήτέ τι Κίρκης,
Μήτέ τι Μηδείας, μήτε ξανθᾶς Περιμήδας.
Ἰυγξ, ἕλκε τὺ τλῶον ἐμὸν ποτὶ δῶμα τ' ἄνδρα.
Ἀλφιτά τοι πρώτον πυρὶ τάκεται· ἀλλ' ὑπάνασε
Θέστυλι δειλαία· πᾷ τὰς φρένας ἐκπεπότασαι;
Ἦ ῥά γέ τοι, μώρα, καὶ τὸν ὄπχαρμα τέτυγμαι;

15 Efficiens hæc venena non inferiora neque Circes,
Nec Medeæ, neque flavæ Perimedæ *venenis*.
Iynx, trahe tu illum meam ad domum virum.
Mola quidem in igne conſumitur, ſed aſperge
Theſtyli infelix: quo tibi mens avolavit?
20 An vero, ſceleſta, tibi quoque ludibrio ſum?

15. ΜΗ. Ἔτι καὶ νῦν σὺ τῷ σεληναίῳ ὄρφ ὄρμους δεικνύσι τ' Μηδείας, καὶ Κίρκης, σὺ οἷς ἔκοπλον τὰ φάρμακα.

16. ΠΕΡ. Αὕτη ἐστὶν ἡ παρ' Ομήρῳ Αγαμήδη λεγομένη, ἣ τόσα φάρμακα εἶδεν, ὅσα τρέφει εὐρεῖα χθών.

17. ΙΥΓ. Ἰυγξ, ὄρνεον Αφροδίτης, ὃ αἱ Φαρμακίδες συνεργὸν ἔχουσι πρὸς τὰς μαγείας, λέγουσι δέ καὶ αὐτὸν τ' ἔρωτα ἀπὸ τῦ ἐνόντος ζώου ἰυγξαι, ὡς φησι Πίνδαρος, καὶ Αριστέλης σὺ τῷ περὶ ζώων μορίων, μεῖζον πίννης αὐτὸ λέγων, ἢ κίναιδος· ἡ παρὰ Ρωμαίοις σεισοπυγὶς καλεμένη, διὰ τὸ παντα χῦ στρέφειν καὶ λυγίζειν τ' αὐχένα ἢ τὴν πυγήν. ἢ τὴν Ἰυγξαι, ὡς φησι Καλλίμαχος, ἠχοῦς θυγατέρα, Φαρμακεύειν δὲ τὸν Δία, ὅπως ἂν αὐτῇ μιχθῇ· ὅθεν ὑπὸ Ηρας εἰς ὀρνιθάριον αὐτὴν μεταβαλεῖν, καὶ συνεργεῖν ταῖς Φαρμακείαις. Αλλως. Ἰυγξ, ἡ λεγομένη σεισοπυγίς· ἣν φασὶν σὺ τῇ φύσῃ ἔχειν ἐρωτικήν τινα πῆδω· ἀφ' ἧς καὶ πάντα ἁπλῶς τὰ εἰς φιλίαν κινῦντα φάρμακα, ἰυγξας λέγυσι, καὶ τὰ ἐπαγωγὰ ἄλλως καὶ χαρίεντα, κατὰ μεταφοράν· σὺ ταῦθα δὲ ἴσως τὴν σεισοπυγίδα λέγῃ, ἣν σὺ κατασκοπῇ τινι ἡ Σιμαίθα ἔχουσα ταῦτα ἐπᾴδει.

18. ΑΛΦ. Ως τῶν μαγθυουσῶν ἄλφιτα θυουσῶν. ταῦτα δὲ θυλήματα ἔλεγον. τάκεται δὲ τύφεται, θυμιᾶται, ὑπὸ δ' πυρὸς ἀναλίσκεται. γράφεται ἔτι καὶ κάεται. ῥόμβον δὲ ὃν οἱ Ατλικοὶ κόρυμβον καλοῦσι. παρόσον τέλειός ἐστιν ἀριθμὸς ὁ τρεῖς, ἀρχὴ ὢν, καὶ μέση, καὶ τέλος. καὶ ἔστι φύσει τρίγωνος. τὸ δὲ τάκεται, ἐπὶ κηρῦ καὶ χιόνος, καὶ τῶν τοιύτων λέγεται, τῶν κατ' ὀλίγον ἀναλισκομένων. σὺ ταῦθα δὲ ἁπλῶς, ἀντὶ δ' ἀναλίσκεται, καὶ φθείρεται.

19. ΠΑ. Ποῖ ἔχῃς τὸν νοῦν σὺ τετοπισμένον ὄντως βδέλυρα, καὶ σοὶ γέλως γεγένημαι;

Πάσσ' ἄλα κὴ λέγε ταῦτα, Τὰ Δέλφιδος ὀστέα πάσσω.
Ἴυγξ, ἕλκε τὺ τλῦον ἐμὸν ποτὶ δῶμα τ' ἄνδρα.
Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ὔμι Δέλφιδι δάφναν
Αἴθω χ' ὡς αὐτὰ λακέει, μέγα καππυρίσσασα;
Κἠξαπίνης ἄφαν ἐγένθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς,
Οὕτω τοι κὴ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.
Ἴυγξ, ἕλκε τὺ τλῦον ἐμὸν ποτὶ δῶμα τ' ἄνδρα.
Ὡς τῦτον τ' ἤρων ἐγὼ σὺν δαίμονι τάκω,
Ὡς τάκοιθ' ὧδ' ἔρως ὁ Μύνδιος αὐτίκα Δέλφις.
Χ' ὡς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος, ἐξ Ἀφροδίτας,
Ὡς κεῖνος δινοῖτο πόθ' ἀμετέρησι θύρῃσιν.
Ἴυγξ, ἕλκε τὺ τλῦον ἐμὸν ποτὶ δῶμα τ' ἄνδρα.

Sparge ſalem & hæc dicas, Delphidis oſſa ſpargo.
Iynx, trahe tu illum meam ad domum virum.
Delphis me cruciat: ego vero in Delphide hanc laurum
Uro: & ſicut illa crepat valde inflammata,
Ut ſubito conflagravit! ut neque cinis de ea apparuit!
Ita etiam Delphidis caro in flamma conſumatur.
Iynx, trahe tu illum meam ad domum virum.
Sicut hanc ceram ego, Deo adjuvante, liquefacio,
Ita præ amore ſtatim liqueſcat Myndius Delphis.
Utque volvitur hic æneus orbis, ope Veneris,
Sic ille volvatur ante noſtras fores.
Iynx, trahe tu illum meam ad domum virum.

23. ΑΝΙ. Ηγυν, ἐλύπησε; κὴ ἐγὼ κατὰ Δ Δέλφιδος Δάφνιν καίω· κὴ ὡς λακήσᾳ μεγάλως πυραχτωθεῖσα, κὴ ἐξαίφνης ἀναφθήσεται, κὴ ἐδὲ τέφραν εἰδόμεν αὐτᾶς, ὕτω κὴ ὁ Δέλφις ἐν τῇ φλογὶ Δ ἔρωτος τήκοιτο.

26. ΑΜΑ. Ἀμαθὸν ποιήσαι, ἀφανίσαι, ἄμαθος γὰρ ἡ κόνις.

28. ΩΣ. Καθὰ σὺν ἀγαθῇ τύχῃ ἐγὼ τῦτον τ' κηρὸν ἀναλίσκω; ὕτως εἴθε διαῤῥέοιτο ἐυθὺς κὴ ἐκ εἰς ἀναβολὰς ὑπὸ Δ ἔρωτος ὁ Μύνδιος Δέλφις. σὺν δαίμονι ἢ, τῇ σελήνῃ ἢ τῷ ἥρωτι, ἢ τῷ ἑαυτᾶ δαίμονι; ὡς Μένανδρος φησί· Δαίμων ἀνδρὶ παρίσταται ἐυθὺς γενεθλίῳ. τοιοῦτον ἦ τὸ Σωκράτους δαιμόνιον. τὸ ἢ Μύνδιος ἀπὸ τόπυ. Μύνδος γὰρ Ἀρκαδίας, ἔνθα ἦν ὁ πανίας· οἱ ἢ, Καρίας φασὶ τὴν Μύνδον.

30. Χ' ΩΣ. Καὶ καθὰ γρίφεται ὕτως ὁ χάλκεος τροχὸς ἐξ Ἀφροδίτης, ὕτως κἀκῖνος γρίφοιτο παρὰ ταῖς ἐμαῖς θύραις.

Νῦν θυσῶ τὰ πίτυρα· τὺ δ' Ἀρτεμι κἤ τ' ἐν ἕδρᾳ
Κινήσας Ραδάμανθυ, κἤ εἴπι πέρ ἀσφαλὲς ἄλλο.
Θέσυλι, ταὶ κύνες ἄμμιν ἀνὰ πόλιν ὠρύονθι. 35
Ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχῃ.
Ἰϋγξ, ἕλκε τὺ τλῆθον ἐμὸν πόσι δῶμα τ' ἄνδρα.
Ἠίδε, σιγᾷ μὲν πόντος, σιγῶντι δ' ἀήτα.

Nunc furfures ſacrificabo: tu vero Diana etiam illum qui apud inferos eſt,
Rhadamanthum movere poſſes, & ſi quid aliud firmum eſt.
35 Theſtyli, canes nobis per urbem latrant,
Dea adeſt in trivis, vas æneum quam primum pulſa.
Iynx, trahe tu illum meam ad domum virum.
Ecce jam mare ſilet, ſilent & venti;

33. ΘΥΣ. Θυσῶ, πυρὶ καύσω. ἢν δὲ πρὸ τούτου Ἑκάτην σκάλεσε, ταύτην νῦν Ἀρτεμιν λέγει, ἀφ' ἧς τὸ ὑπομεῖναι τινα κοινωνίαν ταῖς θεαῖς.

34. ΚΙΝ. Ρ' ἀδάμαντα.] Τινὲς ἀδάμαντα τὸν λίθον, ἢ τὸν ἀδάμαντα σίδηρον· βέλτιον δὲ τὸν Ραδάμανθυ, ἤγουν τὸν Πλούτωνα λέγει, καθὸ σκληρὸς καὶ ἀδάμας. ταῦτα δὲ ἀναφέρει ἐπὶ τὸν Δελφίδα, καὶ φησὶ τὴν ψυχὴν αὐτοῦ δόνα, καὶ εἴτι περ στέρεμνον ἔχει τὸ σῶμα. Ἄλλως. καὶ εἴτι περ ἀσφαλὲς ἄλλο] καὶ εἴ τις ἐστὶν ἐν τῷ ᾅδῃ ἀδάμας, σκληρότερος ὢν δηλονότι τοῦ παρ' ἡμῖν ἀδάμαντος, καὶ κατὰ μηδεμίαν μηχανὴν μαλάττεσθαι δυνάμενος, καὶ τοῦτον κινήσαις ἄν, ἀντὶ τοῦ μαλάξαις· καὶ εἴτε περ ἀσφαλὲς ἄλλο, ἤγουν σκληρὸν καὶ μὴ δυνάμενον μαλάττεσθαι. Ἀρτεμις δέ, ἡ αὐτὴ τῇ σελήνῃ.

35. ΘΕΣ. Πρὸς τὴν παιδίσκην φησὶ τετραιρομένην, ὡς ἐπὶ τῶν ὠρυγῶν τὴν θεὸν κατὰ τὰς τριόδους * περφηνίας. διὸ πρὸς ἅπασι καθίσον τάχος τὸ χάλκωμα ἠχεῖν, ὅτι ἐκ ἔλαθεν αὐτὴν φανεῖσα.

36. ΤΡΙ. Ἱδρύοντο δὲ τὴν Ἑκάτην ἐν ταῖς τριόδοις, ὅτι ἐπὶ τῶν καθαρμάτων καὶ μιασμάτων ἡ θεός. ἔνιοι δέ φασι Φεραίας τῆς Αἰόλου καὶ Διὸς παῖδα αὐτὴν γεγονέναι, καὶ ὑπὸ τῆς μητρὸς εἰς τρίοδον αὐτὴν ἐρρίφθαι· τῶν δὲ Φέρητος βουκόλων ἀνελκομένων καὶ ἀναλαμβανομένων ἀνθρέψαι. διόπερ τὰς τριόδους ἱερὰς τῆς θεᾶς νομισθῆναι ἱδρύοντο δὲ αὐτὴν καὶ πρὸ τῶν θυρῶν, ὡς φησιν Αἰσχύλος· Δέσποινα Ἑκάτη, τοῦ βασιλείου πρόδρομος μελάθρων. ΧΑ. Τὸν δὲ χαλκὸν ἐπεῖδον, ἐν ταῖς ἐκλείψεσι τῆς σελήνης, καὶ ἐν τοῖς κατοιχομένοις, ἐπεὶ ἐνομίζετο καθαρὸς εἶναι καὶ ἀπελασικὸς τῶν μιασμάτων. διόπερ πρὸς πᾶσαν ἀφοσίωσιν καὶ ἀποκάθαρσιν αὐτῷ ἐχρῶντο, ὡς φησι καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν. τὸ ἄχῃ, ἀντὶ τοῦ ψόφῃ, κρέκῃς, ἐπεὶ ὁ δὲ χαλκὸς ἦχος εἰκεῖος τοῖς κατοιχομένοις. φησὶν Ἀπολλόδωρος, Ἀθήνησι τὸν ἱεροφάντην Κόρης ἐπικαλυμμένης, ἐπικρύψαι τὸ καλύμμα ἠχεῖον. καὶ παρὰ Λάκωσι βασιλέως ἀποθανόντος, εἰάθασι κρύψαι λέβητα.

* Ven. leg. περηνίας.

40. ΤΑΛ.

Α δ' ἐμὰ δ' στιγᾶ στέρνων ἐντοσθεν ἀνία.
Αλλ' ἐπὶ τλώῳ πᾶσα καπαίθομαι, ὅς με τάλαιναν
Αντὶ γυναικὸς ἔθηκε κακᾶν κ' ἀπάρθενον ἤμαρ.
Ιϋγξ, ἕλκε τὺ τλῶον ἐμὸν ποτὶ δῶμα τ' ἄνδρα.
Ες τρὶς λοιβάσδω, κ' τρὶς τάδε πύτνια φωνῶ.
Εἴτε γυνὰ τλώῳ παρακέκλιται, εἴτε κ' ἀνὴρ,
Τόσσον ἔχοι λάθας ὅσσον πόκα Θησεὺς φαντὶ
Εν Δίᾳ λαθέμεν ἐϋπλοκάμου Αριάδνας.
Ιϋγξ, ἕλκε τὺ τλῶον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ιππομανὲς φυτόν ἐσι παρ' Αρκάσι, τῷ δ' ὅτι πᾶσαι

Sed meus dolor in pectore non quiescit.
Verum amore erga illum tota comburor, qui me miseram
Pro conjuge infamem fecit, & ut non sim amplius virgo.
Iynx, trahe tu illum meam ad domum virum.
Ter libo, & ter hæc, ô reverenda, dico,
Sive mulier illi accubat sive vir,
Tantum obliviscatur, quantum olim Thesea dicunt,
In Dia oblitum esse pulchricomæ Ariadnes.
Iynx, trahe tu illum meam ad domum virum.
Hippomanes planta est apud Arcades, qua concitati omnes

40. ΤΑΛ. Ος μι τὴν ἀθλίαν ἀντὶ γ' κατάσασιν ἔχν γυναικὸς ἐποίησεν εἶναι ἀγενῆ κ' ἄσεμνον. τὸ δ' ἦμαρ, ἀντὶ γ' εἶναι, ἐκ γ' ἐμμάραι γίνεται, ἐκβολῇ γ' πρώτε μ, κ' τροπῇ γ' ε εἰς η, κ' ἀποκοπῇ τ' αι διφθόγγε, ἦμαρ.

45. ΘΑΣ. Θησεὺς γὰρ ἁρπάσας Αριάδνην τὴν Μίνω, κ' ἀπάρας εἰς Δίαν, τὴν νῦν καλεμένην Νάξον, κατὰ Διονύσε βέλησιν λήθῃ τινὶ χρησάμενος, ἀπέλιπεν αὐτὴν καθεύδουσαν. πολλαὶ δὲ κ' ἕτεραί εἰσι νῆσοι Δίαι καλέμεναι ἥτε πρὸ τ Κρήτης. ἐν ᾗ δὲ εἰκὸς μόνῃ συμβῆναι τὰ περὶ τὴν Αριάδνην, ἡ μετονομασθεῖσα Νάξος· κ' ἡ περὶ Μῆλον, κ' ἡ περὶ Αμοργόν, κ' ἡ τῆς Κίω χερρόνησος, κ' ἡ Πελοποννήσε.

48. ΙΗΠ. Ο μὲ Θεόκριτός φησι φυτὸν εἶναι τὸ ἱππομανὲς αἱ δ' ᾠδαὶ τοῦτοι κ' πολυπράγμονες, ἃ φασι φυτὸν εἶναι, ἀλλὰ τὰς ἀφιτικτομένας πώλες ἔχειν τι σαρκίον φυόμενον ἐπὶ γ' μετώπε γλοιῶδες, ἐλάττον ἰσχάδος, ὃ καλεῖται ἱππομανές. ἀπατρώγυσι δ' αὐτὸ κ' ἀπολείχυσιν ἐνθὺς αἱ ἵπποι. κ' εἰ τοῦτο ποιήσυσι, φιλοεργοῦσι τὰς ἔκγονα· εἰ δ' μὴ, ἀπεχθαίρυσι, κ' ἀ προσίενται. ἀφ' τὸ φυσικῶς ἐν συμβάλλεσθαι πρὸς φιλοεργίαν, αἱ ἱπποφορβοὶ ἀφαιροῦσιν αὐτὸ, κ' αἱ φαρμακίδες χρῶνται αὐτῷ πρὸς τὰ φίλτρα. φασὶ δ' ὅτι εἰ ἀλοιντο

Καὶ πῶλοι μαίνονθ' ἀν' ὤρεα καὶ θοαὶ ἵπποι·
Ὡς καὶ Δέλφιν ἴδοιμι καὶ ἐς τόδε δῶμα περῆσαι
Μαινομέναν ἴκελον, λιπαρᾶς ἔκτοθε παλαίστρας.
Ἰυγξ, ἕλκε τὺ τὸν ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Τῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
Ὡ γὼ νῦν τίλλοισα καθ' ἀγρίω ἐν πυρὶ βάλλω.
Αἰ αἰ ἔρως ἀνιαρέ, τί μοι μέλαν ἐκ χροὸς αἷμα
Ἐμφύς, ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;

Et equulei insaniunt in montibus, & celeres equæ.
Utinam sic & Delphidem videam ad hanc domum venire,
Insano similem, ex nitida palæstra!
Iynx, trahe tu illum meam ad domum virum.
Hanc à vestimento fimbriam amisit Delphis,
Quam ego nunc divellens in sævum ignem spargo.
Hei mihi tristis amor: quid mihi atrum è corpore sanguinem,
Veluti paluſtris hirudo inhærens, omnem exuxisti?

τῆς ὀσμῆς αἱ ἵπποι, ἐκμαίνονται πρὸς τὸ ἔχοντα αὐτό. διὸ καὶ ἔτος μέμνηται ἡ ἱπποµανής, ὅπερ συµβαίνει πρὸς τὰ φίλτρα, ὡς φησιν Ἀριστοτέλης καὶ Θεόφραστος. Ἄλλως. Κρατίνας φησὶ τὸ φυτὸν ἔχειν καρπὸν ὡς σικύου ἀγρίου, µελάντερον δὲ τὸ φύλλον ὥσπερ µήκωνος ἀκανθῶδες. ἃ µὲν τοι προσίθησιν, εἰ πρὸς φίλτρα συµβάλλεται, ἢ συµµάχεται. ἴσως φυτὸν αὐτὸ ἔφη ὁ Θεόκριτος, οἱονεὶ φῦµα ἀπὸ δρυὸς ἐν τοῖς πώλοις, ὡς φησιν Ἀριστοτέλης. λέγει γὰρ καὶ Ἀρχίλοχος τὸ φῦµα φυτόν. Ἐθέλειν γὰρ ἄλλως οἶδα τοιάδε φυτὰ εἰκάσαι. ἀντὶ δὲ φύµατος. ὁ νῦς· Φυτόν ἐστι παρὰ τοῖς Ἀρκάσιν, ἱπποµανές. ἐπὶ τούτῳ πᾶσαι αἱ πῶλοι µαίνονται κατὰ τὰ ὄρη, καὶ αἱ ταχεῖαι ἵπποι. τοῦτο ὥσπερ ἐφερµηνεύτικόν ἐπάγει ἱπποµανές. ἃ δείκνυσι καὶ τίνα µανίαν λέγει µαίνεσθαι ἐπ' αὐτῷ τὰς ἵππους καὶ τὰς πώλους. ἴσως ἕλκει αὐτὸ ταύτας ἐφ' ἑαυτὸ, καὶ ἐνθυσιᾶσι ποιεῖ, ἐπὶ τὴν αὐτὸς ζήτησιν ὀσφραίνεσθαι.

50. ΩΣ. Οὕτω καὶ τὴν Δελφὶν ἰδοιµὶ µαινόµενον δηλονότι, καὶ εἰς τόδε τὸ οἴκηµα εἰδὲ ἔλθοι ἐκ τῆς λιπαρᾶς παλαίστρας. λιπαρὰν δὲ λέγει παλαίστραν, ἐπεὶ οἱ παλαίοντες, ἐλαίῳ πρότερον ἠλείφοντο, εἶτα ἐπάλαιον.

53. ΤΟΥ. Τοῦτο τὸ µέρος ἔκρηξε τὸ ἑαυτοῦ χλαίνης δηλονότι ἀπέξαλλεν, ὃ ἐγὼ νῦν ξαίνουσα καταβάλλω ἐν τῷ πυρὶ τῷ ἀγρίῳ, ἤγουν τῷ δραστηρίῳ. ὅπερ καὶ ἄκοντα ἐλθεῖν ἀναγκάσει. κράσπεδον, τὸ ἄκρον ἢ κάτω µέρος ἢ ἐνδύµατος. ἐνταῦθα δὲ κράσπεδον λέγει, ἀντὶ ἢ µέρους ἢ κρασπέδου.

55. ΑΙ. Φεῦ, ὦ ἔρως ἀλγεινέ. Τί µοι τὸ µέλαν αἷµα πᾶν ἐκπέπωκας, ἐµφύς µοι. ἤγουν καταχάν µε ὡς βδέλλα λιµνῆτις.

56. ΒΔΕ. Αἱ βδέλλαι ἐν λίµναις γίγνονται καὶ ἐν ποταµοῖς, προσαγόµεναι

Ιϋγξ, ἕλκε τὺ τλῶον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Σαῦράν τοι τρίψασα, κακὸν ποτὸν αὔριον οἴσω.
Θέσυλι, νῦν ἢ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ', ὑπόμαξον
Τᾶς τλώω φλιᾶς καθυπέρτερον· ἄς ἔπι κἠ νῦν
Ἐκ θυμῶ δέδεμαι· ὁ δὲ μὴ λήγων ἐδέν' ποιεῖ.
Καὶ λέγ' ὀπιφθύσδοισα, Τὰ Δέλφιδος ὀστέα πάσσω.
Ιϋγξ, ἕλκε τὺ τλῶον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Νῦν δὴ μοιμὴ ἐοῖσα πόθεν τὸν ἔρωτα δακρυσῶ;
Ἐκ τίνος ἀρξεῦμαι; τίς μοι κακὰν ἄγαγε τῦτο;
Ἦνθ' ἀ τῶ Τρόλλοιο καναφόρος ἄμμιν Ἀναξώ,

Iynx, trahe tu illum meam ad domum virum.
Lacertam tibi terens, malam potionem cras afferam.
Theſtyli, nunc capiens hæc venena, ea illine
Limini illius, ad quod limen etiam nunc
Animo alligata ſum: ille vero me nihil curat.
Et inſpuens dicito, Nunc Delphidis offa ſpargo.
Iynx, trahe tu illum meam ad domum virum.
Nunc ſola relicta, unde amorem meum deplorare incipiam?
Unde exordiar! quis mihi hoc malum attulit?
Venit ad nos Anaxo Eubuli filia caniſtrum ferens,

ἀγόμβραι ἢ, τὸ αἷμα ἐκθηλάζουσι. εἰρηται ἢ βδέλλα, παρὰ τὸ βδάλλω, ὅ ἐστιν ἐξαμέλγω τὸ αἷμα. τὸ γὰρ ἀμέλγω, Ατθικοὶ βδάλλω λέγουσι. Νίκανδρος· Καὶ συνίσδιλμαι ἰὸν γλάγος.

58. ΣΑΥ. Τὴν κοινῶς λεγομβρὴν χλωροσαῦραν. διαλγοῦσα γὰρ κὴ ἐνθυμομβρὴ, τὸ λεγόμενον τὸν σαύρας ποτὸν ὑποιχνεῖται αὐτῷ αὔριον δώσω. ἔστι δὲ αὐτὴ δυσχερὴς, ἣ τις ἀποκταν θεῖσα κὴ ξηρανθεῖσα, κὴ στωτριβεῖσα, σὺν ἀλφίτοις δίδοται. μιμόθυται γᾶν, ὡς κὴ τῦτο τῶν φίλτρων ἐστὶν ἕν.

59. ΘΡΟ. Θρόνα Θετταλοὶ μὲν, τὰ πεποικιλμένα ζῶια. Κύπριοι δὲ, τὰ ἀνθινα ἱμάτια. Αἰτωλοὶ δὲ φάρμακα, ὡς φησι Κλειταρχος. Ομηρος δὲ τὰ ῥόδα, παρὰ τὸ ἄνω θορεῖν ἀπὸ τῆς γῆς.

60. ΦΛΙ. Γράφεται κὴ φιλίας, τυτέστι πρὸς φιλίαν.

61. ΔΕΔ. Ηγμαι, ἐπιθύμιαι, ἐπιμανὴς εἰμὶ, τυτέστι τῇ ψυχῇ αὐτὸς δὲ, ἐθυμίαν φερούσας ποιεῖται μῦθον.

62 ΕΠΙ. Επιψιθυρίζουσα, ἡσύχως ἐπάδουσα.

65, ΑΓΑ. Ηγαγε, προῦξένησεν;

66. ΗΝΘ. Αρχεται διηγεῖσθαι ὅπως ἐνέπεσεν εἰς τὸν ἔρωτα. φησὶ δὲ ἔτως. ἦλθεν ἡ τῦ Εὐβούλε θυγάτηρ Ανάξω καθηφορῦσα τῇ Αρτέμιδι, κὴ πομπὴν ἀγομβρὴν τῇ θεῷ. εἰώθασι γὰρ τῇ Αρτέμιδι καθηφορεῖν αἱ μέλλουσαι

Αλσ. ἐπ' Αρτέμιδ. τᾷ δή ποκα πολλὰ μὲ ἄλλα
Θηρία πομπεύεσκε φίλιππον, αὖν ἴ λέαιναν.
Φράζεό μοι τὸν ἔρωτ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' ἀ Θεοχαρίλα Θεᾶνα τροφὸς ἀ μακαρίτις,
Αγχίθυρ. καλοῖσα κατόψατο κ' λιτάνευσε
Τὰν πομπὰν θάσασθαι. ἐγὼ δέ νιν ἀ μεγάλοιτ.
Ωμαίρτευν, βύσσοιο καλὸν σύρισα χιτῶνα,
Καμφιελαμψάτᾱν ξυσίδα τὰν Κλεαρίστας.

Ad lucum Dianæ: quo in loco & multæ aliæ
Feræ in pompa ducebantur undique, inter quas erat leæna.
Dic amorem meum, unde venerit, veneranda Luna.
Meque adeo Teucharilæ nutrix Thressa felicis memoriæ,
Vicina prope habitans, oravit & obsecravit
Ut pompam spectarem. Ego vero infigniter infelix
Sequebar, trahens pulchram ex byssio tunicam,
Et induta xystide Clearistæ.

μέλλεσαι γαμεῖσθαι, ἐπὶ ἀφοσιώσει τᾶ παρθενίας, ἵνα μὴ νεμεσηθῶσιν ὑπ' αὐτᾶς, τὰ δὲ μυστήρια ταῦτα, Αθήνησι πολιτεύονται. ἐκαληφόρευν δὲ τᾷ Αρτέμιδι, αἱ ὧραι ἔχουσαι γάμους, ὥσπερ ἀπολογήσασθαι τᾷ παρθενίας τᾷ θεῷ, ἵνα μὴ ἀργισθῇ αὐταῖς μελλούσαις τελοῦσθαι φθείρειν. κ' παρὰ Μεσάνδρᾳ· Αἱ κυίσουσαι ἐπικαλεῖσθε τὴν Αρτεμιν, ἀξιοῦσαι συλλαβέσθαι, ὅτι δυσκόρητοι. Αλλως. ὁ νῦς· ἦλθ' ἀ τῶ' ὑβύλλειο] ἦλθεν ἡ Ανακεῖ ἡ Εὐβούλᾳ ἡμῖν θυγάτηρ δηλονότι ἡ καληφόρος, εἰς τὸ ἄλσος τ. Αρτέμιδος. ἦγεν εἰς τὸ τέμενος τ. Αρτέμιδος, εἰς τ. ἀνατεθειμένον αὐτῇ τόπον. ἄλσος δὲ λέγει αὐτὸν, ὡς δενδρώδη ὄντα.

67. ΤΑ. Ταύτῃ δὴ τῇ Ανακεῖ δηλονότι, ποιᾷ μὲ κ' ἄλλα θηρία συνεπόμπευε. ἐφέρετο δὲ ἦγεν, κατὰ κυκλικὴν φάσιν, κύκλωθεν. ἐζωγραφημένα δὲ ταῦτα ὡς ἔοικεν ἐπομπεύετο. ἐν αὐτοῖς δὲ κ' λέαινα, ἐπόμπευε.

70. ΚΑΙ. Καί με ἡ τροφὸς τ. Θεοχαρίλα ἡ ἀπὸ τ. Θράκης ἡ μακαρίτις· ἐτελεύτησε γὰρ τ. βίον δηλονότι.

71. ΑΓΧ. Επιχωριαλικῶς ἀντὶ τ. πλησίον ναίουσα κ' οἰκοῦσα. ΚΑΤ. Τιτέσιν, ὄρκως μοι ἐπέθηκε, πρὸς θεῶν λέγουσα, κ' τοιαῦτά τινα, κ' ἱκέτευσεν ὡς ἀπιλθεῖν μι θέασασθ' τὴν πομπήν.

73. ΕΓΩ. Εγὼ δὲ αὐτῇ, ἡ μεγάλως δυσχερὴς, ἠκολούθουν. εἶτ. γὰρ ἐ μόνον ὁ ἔλεγε τ. θάνατος, ἀλλὰ κ' πᾶν ὄφιν. τοῦτο δὲ λέγει ὅτι ἐπιθυμῶν προσιλθεῖν ἐπὶ τὴν θέαν.

74. ΞΥΣ. Ξυσὶς, γυναικεῖόν τι ἔνδυμα ποικιλμάτων. Αλλως. περιφόλαιον λεπτὸν ᾧ χρῶνται κ' εἰ ἀρματηλάται. εἴρηται δὲ, ἀπὸ τ. χεῖν ξέειν, ἢ ὡς ἕτεροι, ἀπὸ τοῦ ξύω τ. χρῶτα.

76. ΕΥ.

Φερόζεό μοὶ τ' Ἔρωθ' ὅθεν εἶκτο, πότνια Σελήνα.
Ἤδη δ' εὖσα μέσον κατ' ἀμαξιτὸν, ἔνθα τὰ Λύκωνος,
Εἶδον Δέλφιν ὁμοῦ τε καὶ Εὐδάμιππον ἰόντας.
Τοῖς δ' ἦν ξανθοτέρη χαρίεσσα ἑλιχρύσοιο γενειάς,
Στήθεα δ' εἰλδόντα πολὺ πλέον ἢ τὸ Σελήνης,
Ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων.

Φερόζεό μοὶ τ' Ἔρωθ' ὅθεν εἶκτο, πότνια Σελήνα.
Χὡς εἶδον, ὡς ἐμάνην, ὡς μοὶ κακὸς ἔνδυε θυμὸς ἰάφθη
Δειλαίας, τὸ δ' ἔπειτα κατέκειτο, κοὐδ' ἔτι πομπᾶς
Τείσας ἐφρασάμην, οὐδ' ὡς πάλιν οἶκαδ' ἀπῆλθον,
Ἔγνων· ἀλλά μέ τις καπυρὰ νόσος ἐξαλάπαξε·
Κεῖμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.

75 Dic amorem meum unde venerit, veneranda Luna.
Cum iraque jam incederem per medium orbitam, ubi *ædes* Lyconis,
Ibi Delphidem vidi, & simul Eudamippum, euntes.
His erat helichryso flavior barbæ lanugo,
Pectora vero splendebant multo magis quam tu Luna,
80 Ut è gymnasio *redeuntibus* relicto pulchro labore.

Dic amorem meum, unde venerit, veneranda Luna.
Atque ut vidi, ut insanii, ut animus mihi male affectus est
Miseræ! forma mea tabescebat, neque amplius pompam
Illam curabam, neque quomodo domum redierim,
85 Novi: sed me ardens quidam morbus conficiebat;
Decubui vero in lecto dies decem & noctes decem.

76. ΕΥ. Ἤγουν, ἔσα. τὸ γὰρ εὖσα ἀπὸ τῆς ἔσσα γίνεται, κατὰ τὸ μέσον τ' ὀδὸν τ' πλατείαν, ὁπεῖ ὅπου εἰσὶ τὰ οἰκήματα τῆς Λύκωνος, εἶδον τ' Δέλφιν, καὶ τ' Εὐδάμιππον ὁμοῦ παρευρόντας· τούτοις δὲ ἦν γενειὰς μὲν ξανθοτέρα ἑλιχρύσου, στῆθη δὲ λάμποντα κατὰ πολὺ πλέον ἢ τὸ σῆθος τ' σελήνης δηλονότι, ἢ τὸ φῶς.

80. ΓΥΜ. Καθὰ ἀπὸ τ' παλαίστρας ἐξελθόντων, οὕτινα χρὴ καλὸν πόνον λιπεῖν· τουτέστι, τὰς γυναῖκας ἀγῶνας τ' πάλης λιπεῖν.

83. ΟΥΚ. Καὶ ἐδαμοῦ ὅτι τῆς πομπῆς οἰκείης αἴθησιν ἔχων, οὐδὲ ὅπως εἰς τ' οἶκον ἐπανέστρεψα. τοῦτο γὰρ ὁμοῦ, τὸ πάλιν ἀπῆλθον ἴγνων.

84. ΑΛΛ. Ἀλλὰ πυρώδης τίς με νόσος, τουτέστι πυρετὸς, ἐδαπάνησε, ἢ ἐξελάπαξε, διέφθειρε, ὁκτὼ φρενῖτίδος καὶ γνάμης ἐποίησε. χρώφεται καὶ ἐξέλαπαξεν· ἵν' ᾖ ἐξήλησε. Λάπας. Λαπάπαθα παρ' Ἀττικοῖς τὰ κεκμηκότα. καὶ λάπαθος βοτάνη τις κιτωτική.

86. ΚΕΙ.

Φεράζεό μοι τὸ ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα·
Καί μοι χρὼς ἁμοῖος ἐγίνετο πολλάκι θάψῳ.
Ἐῤῥεῖν δ' ἀπὸ κεφαλᾶς πᾶσαι τρίχες· αὐτὰ δ' ὀλοπαὶ
Ὀστέ' ἔτ' ἦς κἠ δέρμα· κἠ ἐς τίνα· οὐκ ἐπέρησα,
Ἢ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾴδει;
Ἀλλ' ἦς οὐδὲν ἐλαφρόν· ὁ δ' χρόνος ἄνυτο φεύγων.
Φεράζεό μοι τὸ ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα·
Χ' ὥτω τᾷ δώλᾳ τὰ ἀληθέα μῦθον ἔλεξα,
Εἰ δ' ἄγε Θέστυλί μοι χαλεπᾶς νόσω εὗρέ τι μᾶχος.
Πᾶσαν ἔχει με τάλαιναν ὁ Μυῶδις. ἀλλὰ μάλ' οἴσω

Dic amorem meum, unde venerit, veneranda Luna.
Et corpus meum admodum simile fiebat thapso:
Defluebant vero è capite omnes capilli, ipsaque sola reliqua
Ossa erant & cutis: ad cujus vero *ades* non ivi?
Aut cujus aniculæ domum prætermisi quæ incantaret?
Sed nihil erat leve, & tempus interea consumebatur fugiens.
Dic amorem meum, unde venerit, veneranda Luna.
Tandem ancillæ verum sermonem dixi:
Eia age, Thestyli, mihi gravis morbi aliquod remedium inveni:
Totam me cepit miseram Myndius ille. Sed profecta

86. ΚΕΙ. Καὶ κειμὴν ἐν τῇ κλίνῃ ἐπὶ δίκα ἡμέρας καὶ νύκτας· καὶ τὸ σῶμά μου ὅμοιον ἐγίνετο καταπολὺ θάψῳ, τῷ κοινῶς λεγομένῳ χρυσοξύλῳ.

88. ΠΟΛ. Χλωρὸς, ἢ ξανθός. Θάψος γάρ ἐστι ξύλον τι ὃ καλεῖται σκυθάριον, ἤγουν σκυθικὸν ξύλον, ὡς φησι καὶ Σαπφώ· τοῦτο δὲ τὰ ἕρια βάπτουσι, ἐὰν ποιῶσι μήλινα, καὶ τὰς τρίχας ξανθίζουσιν. ἔστι δὲ τὸ παρ' ἡμῖν λεγόμενον χρυσόξυλον. Ἀσκληπιάδης δέ, φυτόν τι χλωρὸν, ὅθεν ἐὰν τὴν θαψίαν πρὸς τὰ ἐπώπια· βάπτεται δὲ ἐκ ταύτης τὰ κροκωτά.

90. ΟΣ. Ὀστᾶ ἀκμὴν εἰσὶν ὑπόλοιπα, καὶ εἰς τίνος γραίας δόμον οὐκ ἀπῆλθον, ἥτις ἐπῳδαῖς ἠπίατο χρῆται, ἀλλ' ὠδυρία ἦν ἀνάπαυσις, ὠδ' ἐκκρίζόμην ὑπ' ἔρωτος, καὶ ὁ χρόνος διήρχετο ῥέων.

94. Χ' Ὡς. Καὶ τοῦτον τὸν τρόπον ὑπ' πεφάγματος ἔχοντες δηλονότι, ἔλεξα τὴν ἀλήθειαν τῇ ἐμῇ δέλῃ, ὅτινι εἰπεῖσα· εἶα ἄγε, ὦ Θέστυλι, μοι ἐπινόησον, τινὰ μηχανὴν ἔξευρε, ἕνεκα τῆς χαλεπῆς μου καὶ βαρείας νόσου, ὅτι μοι ὁ ἔρως ὑπ' Μυώδης πολλὰ βαρύνει. ἀλλὰ ἀπελθοῦσα πρὸς τὴν παλαίστραν ὑπ' Τιμαγήτου, σκόπησον. ἐκεῖ γὰρ ἀναστρέφεται καὶ ἐκεῖ αὐτὸς ἡδὺ καθίζουσι.

99. ΦΡΑ.

Τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·
Τίωνὶ γὰρ φοιτῇ, τίωνὶ δέ οἱ ἀδὺ καθῆδυ.
Φράζεό μοι τᾶς ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Κἤπεὶ κάνιν ἐόντα μάθοις μόνον, ἄσυχα νεῦσον,
Κἠφ' ὅτι Σιμαίθα τυ καλεῖ· κὠ ὑφάγεο τᾶνδε.
Ὡς ἐφάμαν· ἀὰ δ' ἦνθε, κὠ ἄγαγε τᾶς λιπαρόχρων
Εἰς ἐμὰ δώματα Δέλφιν. ἐγὼ δέ νιν ὡς ἐνόησα
Αρτι θύρας ὑπὲρ εὖδον ἀμειβόμενον ποδὶ κέφῳ,
(Φράζεό μοι τᾶς ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα)
Πᾶσα μὲν ἐψύχην χὠ θαλέον, ὐκ δὲ μετώπω
Ἰδρὼς μοι κοχύεσκεν ἴσον νοτίαισιν ἐέρσαις,
Οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ

Observa circa Timageti Palæſtram:
Eo enim commeare ſolet, ibique ei gratum deſidere.
Dic amorem meum, unde venerit, veneranda Luna.
Cumque ipſum ſenties eſſe ſolum, occulte innue,
Et dic, Simætha te vocat: atque huc ad me adducito.
Sic dixeram. ipſa vero abiit, & adduxit nitidum illum
Delphidem ad ædes noſtras. at ego ut ipſum aſpexi
Jam portæ limen ſuperantem pede celeri,
(Dic amorem meum unde venerit, veneranda Luna)
Tota quidem obrigui, plus nive: ex fronte vero
Mea ſudor abunde defluebat ſimilis auſtralibus pruinis,
Neque quicquam eloqui poteram, ne tantum quidem quantum in ſomnis

99. ΦΡΑ. Συνεχῶς ἐπικαλεῖται τὴν σελήνην ἢ ὡς συνεργὸν πρὸς τὰς μαγείας, ἢ ὡς κὠ αὐτὴν ἐραθεῖσαν Ενδυμίωνος.

100. ΚΗΠ. Καὶ ἐπίδὰν αὐτὸν μόνον ὄντα εἰδῇς, κεχωρισμένον δηλονότι τῶν ἄλλων, ἥσυχα, ἤγαν ἡσύχως νεῦσον, κὠ εἰπὲ ὅτι ἡ Σιμαίθα σε καλεῖ, κὠ ὁδήγησον αὐτὸν ὧδε. τὸ ἥσυχα Μήνατος παρώξυνεν, ἵνα ᾖ ἀντὶ τοῦ ἡσύχως. ἀγνοεῖ δὲ ὅτι τὰ εἰς α ὑδέτερα πληθυντικὰ ἀντὶ ἐπιῤῥημάτων πολλάκις λαμβάνεται. οἷον φίλα ἀντὶ τοῦ φίλως· κὠ ὅσια, ἀντὶ τοῦ ὁσίως.

102. ΩΣ. Οὕτως ἔφλω, αὐτῇ δηλονότι τῇ δάλῃ. ΑΔ. Αὐτὴ δὲ ἀπῆλθε κὠ ἤγαγε τὸν εὐτραφῆ Δέλφιν δηλονότι εἰς τὸν ἐμὸν οἶκον.

103. ΕΓΩ. Ἐγὼ δ' ὡς εἶδον αὐτὸν ἤδη τὴν φλιὰν τῶν θύρας ὑπερβαίνοντα ποδὶ ἐλαφρῷ, πλέον χίονος ἅπασα ἐψυχράνθλω.

107. ΙΔΡ. Κατέτρεχε, κατεφέρετο κὠ δαψιλῶς ἔῤῥει, ὁμοίως κὠ καὶ ἴσον ταῖς καθύγροις δρόσοις. κόχος γὰρ ὁ δαψιλὴς ῥῶς. ὠνόμασται δέ.

108. ΦΩΝ. Οὐδὲ φωνῆσαί τι

Κνυζῶνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
Αλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.
Φράζεό μοι τ' ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' ἐσιδὼν ὤσοργος, ὅπ' χθονὸς ὄμματα πήξας
Εζετ' ὀπὶ κλιντῆρι· κ' ἐζόμενος φάτο μῦθον,
Η ῥά με Σιμαίθα τόσον ἔφθασας ὅσσον ἐγὼ θὴν
Περάν ποκα τ' χαρίεντα τρέχαν ἔφθαξα Φιλῖνον,
Ες τὸ τεὸν καλέσασα τόδε στέγος, ἤ με παρῆμεν.
Φράζεό μοι τ' ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Ηνθον γὰ κἠγώ, ναὶ τὸν γλυκὺν ἦνθον ἔρωτα,

Murmurant clamantes caram ad matrem pueri:
Sed obrigui toto corpore, ſicut monile riget.
Dic amorem meum, unde venerit, veneranda Luna.
Et crudelis ille me intuens, oculos in terram defixit,
Aſſeditque in ſella, atque ſedens ſic ait:
Certe me Simætha tantum antevertiſti, quantum ego
Nuper currens formoſum anteverti Philinum,
Cum me ad tectum tuum vocaſti, ut adeſſem.
Dic amorem meum, unde venerit, veneranda Luna.
Veniſſem enim ego, per dulcem amorem, veniſſem

ἐδωνάμιλλα, ὡσ' ὅσον ἐν ὕπνῳ κνυζῶνται τὰ τέκνα φωνῆντα πρὸς τὴν φίλλω αὐτῶν μητέρα. τὸ κνυσᾶζ, ἐπὶ τῶν κυνῶν λέγεται κυρίως, ὅτε προσερχόμενοί τινι, φωνήν τινα ἀπὸ χαρᾶς ἀφιᾶσιν. ἐνταῦθα δὲ ἐπὶ τ βριφῶν τῦτο τίθησι μεταφορικῶς. ὁμοίως τὸ φωνεῦντα, ἀντὶ τ φωνῆντα, κυρίως ἐπὶ τ ὀρνέων λέγεται, καταχρηστικῶς δὲ ἐπὶ τ ἠσύχα κ' ἀσήμα ὑλακῆς τ κυνῶν.

110. ΑΛΛ. Αντὶ τ ἄφωνον γέγονα ὁμοία δαγῦδι, ᾗ αἱ παρθένοι κοσμῶνται. δαγὺς δὲ ἐσι κοροκόσμιόν τι. καλῦσι δὲ αὐτὸ κ' νύμφιλα. οἱ δὲ πλαγγόνα, ὡς Αττικοὶ ἀπὸ τ πεπλάσθαι ἐν κηρῷ. Αλλως. Δαγὺς, κόσμος ἐγκάρδιος ἐσι γυναικῶν, κ' στέφανος περισφίγγων τὴν κεφαλὴν, κ' πεπηγὼς ἐπ' αὐτήν.

112. ΚΑΙ. Καὶ εἰσιδὼν μ' ὁ σκληρὸς κ' ἐπὶ φιλίᾳ ἀβέβαιος, τὰς ἀκτῖνας τ ὀφθαλμῶν ἐρείσας, ἐκάθισεν ἐπὶ τῇ στρωμνῇ κ' καθεζόμενος ἔφη.

114. ΗΡΑ. Οντως ὦ Σιμαίθα τοσῦτον προέλαβες εἰς τὸν σὸν τῦτο οἶκημα καλέσασα, ὅπ μ' παρεῖναι ἐκάλεσας· δηλονότι ἀπὸ κοινῦ, ὅσον ἐγὼ πρώϊν ποτὲ τρέχων προέλαβον τ Φιλῖνον τ χαρίεντα.

118. ΗΝ. Ηλθον γὰρ ἂν ἐγὼ νὴ τ γλυκὺν ἔρωτα, ἦλθον φίλος ὤν, ἢ μετὰ δύο ἄλλος, ἢ μ' τρεῖς, αὐτίκα ἐπὶ τῆς νυκτὸς, ἤγειν κατὰ τὴν παρε-

Η τρίτος ἠὲ τέταρτος ἐὼν φίλος ὠτίκα νυκτὸς,
Μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
Κρατὶ δ' ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
Πάντοτε πορφυρέῃσι περιζώσῃσιν ἑλικτάν.
Φράζεό μοι τ' ἔρωτ' ὅθεν ἵκετο, πότνα Σελήνη.
Καί μ' εἰ μέν κ' ἐδέχεσθε, τά δ' ἦς φίλα· νὺξ γὰρ ἐλαφρὴ

Vel duobus vel tribus comitatus de nocte amans:
Mala quidem in ſinu Bacchi habens,
In capite autem habens populum, Herculi ſacram plantam,
Undique purpureis lemniſcis involutam.
Dic amorem meum, unde venerit, veneranda Luna.
Et ſi me admiſiſſetis, id gratum fuiſſet: nam celer

παρῆσαν νύκτα. Μᾶλα μὲν ἐν κόλποισιν] μῆλα ἔχων ἐν κόλποις τὰ ἐράσμια καὶ ἐρωτικά. λέγει δ' ἀντὶ τούτου καθ' ὑπὸ Ἀφροδίτης διδόμενα τῷ Ἱππομένει μῆλα ὅτε Διονύσου, εἰς ὃν ἀναφέρονται. ταῦτα δὲ εἰς ἔρωτα τὴν Ἀταλάντην ἐκίνησεν, ὡς φησὶ Φιλητᾶς, τά οἱ ποτὲ Κύπρις ἐλοῦσα Μῆλα Διονύσου δῶκεν ἀπὸ κροτάφων. Ἄλλως. Μᾶλα μὲν ἐν κόλποισιν] ἐν τῷ κόλπῳ μὲν φυλάσσων μῆλα τοῦ Διονύσου, ἴσως ἀπὸ τόπου τινὸς ἀφιερωμένου τῷ Διονύσῳ.

121. ΚΡΑ. Ὀλυμπιόνικος φησὶ τὸν Ἡρακλέα κατελθόντα εἰς ᾅδου, εὑρεῖν παρὰ τῷ Ἀχέροντι φυομένην τὴν λεύκην, καὶ εἰς ἀνθρώπους κομίσαι, ἣν Ὅμηρος ἀχερωΐδα καλεῖ, ὡς ἐν τῇ κεφαλῇ ὂν ἔχων τὸν στέφανον ἀπὸ τῆς λεύκης τοῦ φυτοῦ τοῦ Ἡρακλέους, πανταχόθεν περειλημένον περιζώσαις πορφυραῖς. ἐστεφανωμένος δέ, φησι, λευκῇ ἐλελύθει ὁ Δέλφις, ὅτι ἀθλητικός ἐστιν, ὡς καὶ Ἡρακλῆς· οἱ γὰρ ἀθλητικοὶ τοῦτον ἐστεφανοῦντο ὡς ἱερόν· ἱερὸν δὲ ἦν τοῦτο Ἡρακλέους διὰ πολλὰς ἄλλας διηγκόντος, ἐπεὶ αὐτὸν ἔλεγον ἀπὸ τοῦ Ἀχέροντος τοῦτο εἰς ἀνθρώπους κομίσαι. Ἀνδρὸς ἐστὶ τεχνικοῦ καὶ συνετοῦ τὰ ἐρωτικὰ, ἀραθῆσαν γυναῖκα μὴ παντελῶς ἀποστρέφεσθαι. ἡ γὰρ ἀμφὶ τοῦτον ἄγνοια, μῖσος ἀπεργάζεται. μεταδιδόναι δὲ καὶ λόγου μᾶλλον ἐνίοτε χρὴ, καὶ πως ὑποφαίνειν αὐτὸν ἐρῶντα. οὐ μὲν γὰρ τοῦ παντελῶς ἀποστρέφεσθαι, καταλυσίς ἐστι τοῦ ἔρωτος, οὐ δὲ τοῦ δοκεῖν πως ἀντιφιλεῖν καὶ παρέχειν ἐλπίδα μίξεως καὶ ἔρωτος, αὔξησις μᾶλλον τοῦ πόθου. τοιοῦτον δή τινα καὶ τὸν Δέλφιν δείκνυσιν ὁ ποιητικὸς ἡμῖν λόγος.

124. ΚΑΙ. Καὶ ἐὰν μὲν ἐκδέχεσθέ με, ἦν ἂν τοῦτο προσφιλές. καὶ γὰρ εὔτροφος καὶ εὐειδὴς παρὰ πᾶσι τοῖς νέοις καλοῦμαι· ἀνεπαύομην ἐὰν καὶ μόνον τὸ καλόν σου σῶμα ἐφίλησα. εἰ δὲ ἀλλαχόσε ἀπωθεῖσθε, καὶ ἡ θύρα ἠσφαλισμένη ἦν τῷ μοχλῷ, τῷ κοινῶς λεγομένῳ κατοπηγίῳ, οὐ παντὸς καὶ πολίκεις καθ' ὑμῶν, καὶ λαμπάδες ἦλθον ἧγον, κατὰ τοῦ οἴκου ὑμῶν.

Καὶ καλὸς πάντεσσι μετ' ἠϊθέοισι καλεῦμαι.
Εὖδόν τ' εἴκε μόνον τὸ καλὸν στόμα τᾷ ἐφίλασα·
Εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε, κὴ ἀ θύρα εἴχετο μοχλῷ,
Πάντως κὴ πελέκεις κὴ λαμπάδες ἦνθον ἐφ' ὑμέας.

Φρεάζεό μοι τὰ Ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Νῦν ἦ χάριν μοι ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν·
Καὶ μετὰ τὰν Κύπριν, τύ με δεὐτερα σὺκ πυρὸς εἵλω,
Ὦ γύναι, ἐσκαλέσασα τὸν ποτὶ τῦτο μέλαθρον,
Αὔτως ἡμίφλεκτον. Ἔρως δ' ἄρα κὴ Λιπαραίᾳ
Πολλάκις Ἀφαίστοιο σέλας φλογερώτερον αἴθει.

Φρεάζεό μοι τὰ Ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Σοῦ ἦ καναῖς μανίαις κὴ παρθένον ὐκ θαλάμοιο
Καὶ νύμφαν ἐφόβησ' ἔτι δέμνια θερμὰ λιποῖσαν
Ἀνέρος. ὣς ὁ μὲ εἶπεν· ἐγὼ δέ οἱ ἀ ταχυπειθὴς

125 Et formoſus inter omnes juvenes voçor.
Quieviſſem vero ſi tantum os tuum pulchrum oſculatus fuiſſem:
Sin alio repuliſſetis me, & fores peſſulo occluſæ fuiſſent,
Omnino & ſecures & faces ad vos veniſſent.
Dic amorem meum, unde venerit, veneranda Luna.
130 Nunc vero affirmo, me hanc gratiam primum Veneri debere:
Et poſt Venerem, ſecundo tu ex flamma me eripuiſti,
O mulier, quæ me huc ad ædes tuas vocaſti
Prorſus ſemuſtum: nam amor ſæpe Liparæo
Vulcano ardentiorem flammam incendere ſolet.
135 Dic amorem meum, unde venerit, veneranda Luna.
Ille enim objecto furore malo, virginem ex thalamo,
Et ſponſam expulit ex thoro tepido adhuc relicto
Viri. Sic ille dixit, ego vero illi facile credula,

133. ΕΡΩ. Ὁ Ἔρως γὰρ φλόγα ἀνάπλη, καλαπολὺ καυστικωτέραν τῆς πυρὸς τῆς Λιπαραίης. ἦγεν, τῆς ἐν τῇ Λιπάρᾳ τῇ νήσῳ.

136. ΠΑΡ. Καὶ παρθένον δ' ἐκ τῆς δωματίης ἐφόβησεν· ἀντὶ τῆς φυγεῖν ἐποίησε. σὺν κακαῖς μανίαις, ἦγεν κακῶς μαινομένῳ, κὴ νύμφῳ, ἦγεν γυναῖκα ἄνδρα ἔχουσαν, ἐκ τῆς θαλάμου φυγεῖν ἐποίησεν, ἔτι θερμὴν λιπῆσαν τὴν τῆς ἀνδρὸς αὐτῆς κοίτην.

138. ΩΣ. Οὕτως ἐκεῖνος εἶπεν. ἐγὼ ἦ ἡ ταχεῖα εἰς τὸ πείθεσθαι, τ' χειρὸς αὐτῦ ἀψαμένη (τὸ γὰρ οἱ, ἀντὶ τῆς αὐτῦ λαμβάνει)) ἔκλινα αὐτὸν ἐπὶ τ' μαλακῆς στρωμνῆς. κὴ ταχέως ἐμαλακίζετο, κὴ ἡσύχως διελιγόμεθα μετὰ ἡδονῆς.

142. ΧΩΣ.

Χειρὸς ἐφαψαμένα μαλακῶν ἐκλινα ὑπὶ λέκτρων·
Καὶ ταχὺ χρὼς ὑπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα
Θερμότερ' ἦς ἢ πρόσθε· καὶ ἐψιθυρίσδομες ἀδύ.
Χὡς κά τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
Ἐπρέχθη τὰ μέγιστα, καὶ ἐς πάντον ἥνδομες ἄμφω.
Κοὔτέ τι τλῶθ'. ἐμὶν ἐπεμέμφατο μέσφα τοι ἐχθές·
Οὔτ' ἐγὼ αὖ τλήω. ἀλλ' ἥνδέ μοι ἄ τε Φιλίσας
Μάτηρ τᾶς γε ἐμᾶς αὐλητρίς θ', ἄ τε Μελιξοῦς
Σάμερον, ἀνίκα πέρ τε ποτ' ὠρανὸν ἔτρεχον ἵπποι,
Ἀῶ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι·

Manu prehendens in mollem lectum inclinavi:
Et mox corpore corpus calefiebat, ora vero
Calidiora erant quam prius, & muſſitavimus una ſuaviter.
Ac ne tibi diu garriam, ô cara Luna,
Res maxima peracta eſt, & voto uterque potiti ſumus.
Neque poſt id tempus me ille culpavit uſque in heſternum diem:
Neque ipſum ego: ſed venit ad Philiſtæ
Mater meæ tibicinæ, atque eadem mater Melixûs,
Hodie cum ad cœlum aſcenderent *Solis* equi,
Roſeam auroram ab Oceano ſubvehentes;

142. ΧΩΣ. Καὶ ὡς ἄν σοι μὴ ἐπὶ πολὺ παρατρωμένως λόγως λέγωσα σὺ ὀχλοίω, ὦ φίλη σελήνη, ἐπράχθη τὰ μέγιστα· ἦγον τὰ τᾶ μίξεως. καὶ εἰς πόθον, ἀλλήλων δηλονότι ἤλθομεν ἀμφότεροι. καὶ ὅδεν ὅτι ἐκεῖνος ἐμοὶ ἐμέμψατο, ἦγον ἐγκάλεσε μέχρι ἐχθές· τὸ πλησίον δὲ λέγω ἐχθὲς θέλω δηλῶν, ὅτε ἐγὼ ἐκείνῳ ἐγκάλεσα. ἀλλ' ἦλθεν εἰς ἐμὲ σήμερον, ἥτε τᾶ Φιλίσας μήτηρ τᾶ ἐμᾶς γειτονες, καὶ ἁ τᾶ Μελιξοῦς, ἐπὶ δὲ αὐτῷ ὀνόματος τὰ δύο ἄρθρα, καὶ σὺ ἄλλοις τοῦτο γίνεται πολλοῖς.

147. ΣΑΜ. Σήμερον, ἡνίκα πρὸς τὸ ὠρανὸν ἔτρεχον οἱ ἵπποι τᾶ ἁρματος (δηλονότι τᾶ ἡλίω) φέρυσαι ἀπὸ τᾶ Ὠκεανοῦ τὴν ἡμέραν τὴν ῥοδόπηχυν ἦγον τὴν λαμπράν, τὴν τερπνὴν, τοτέοι, κατὰ τὸ ἔρθρον· καὶ εἶπέ μοι ἄλλά τε πολλά, καὶ ὅτι ἄρα ὁ Δέλφις ἔραται, ἀντὶ δὲ ἐρᾷ· ἦγον, ἔρατι τινὸς κατέχεται. καὶ εἴτε γυναικὸς πόθος ἔχοι αὐτὸν εἴτε καὶ ἀνδρὸς, οὐκ ἔφη, ὥστε εἰδέναι ἐμὲ ἀτρεκές, ἀντὶ δὲ ἀτρεκῶς, ἦγον φατιρᾶς. τοσοῦτον δὲ ἔφη, ὅτι ἀεὶ ἀντὶ δὲ συνεχῶς ἀκράτω ἔρωτος ἐπεχεῖτο· ἦγον σωιχῶς ἔπινεν οἶνον ἔρωτος. οἶνος δὲ ἔρωτος, ὃν πίνῃ τις μεμνημμένος τᾶ ἐρωμένης, ἢ δὲ ἐρωμένα. εἰώθασι γὰρ οἱ ἐρῶντες ἐπὶ τοῖς τᾶ ἀγαπωμένων πλείονας κυάθους ἐπιχεῖσθαι. Καλλίμαχος. Ἐγχέ, καὶ πᾶσιν εἶπε Διοκλέος, ὃν Ἀχιλῆος τῶν ἱερᾶν αἰδάνεται κυάθων.

152. ΕΣ.

Κἤπέ μοι ἄλλά τε πολλὰ, κὠς ἄρα Δέλφις ἔρᾳ.
Κἤτέ μιν αὖτε γυναικὸς ἔχει πόθος, εἴτε καὶ ἀνδρὸς,
Οὐκ ἔφα᾽ ἀτρεκὲς ἰδμεν. ἀτὰρ τόσον αἶεν ἔρωτος.
Ἀκρήτῳ ἐπέχευτο, καὶ ἐς τέλος ᾤχετο φεύγων.
Καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα θλῖψα πυκάσδειν.
Ταῦτά μοι ἃ ξείνα μυθήσατο· ἔστι δ᾽ ἀληθὴς.
Ἡ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοτ᾽ ἐροίτη,
Καὶ παρ᾽ ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν.
Νῦν δέ τε δωδεκάταιος ἀφ᾽ ὥτε νιν ὐδὲ ποκ᾽ εἶδον.
Ἦ᾽ ὑκ ἄλλό τι τερπνὸν ἔχει ἁμὶν ἢ λέλαται;
Νῦν μὰ τοῖς φίλτροις καταθύσομαι. αἰδ᾽ ἔτι κἠμὲ
Λυπῇ, τὰν αἰδαο πύλαν (ναὶ μοίρας) ἀραξεῖ.

Ea inter alia multa narravit mihi, quod Delphis amet.
Utrum vero mulieris amore teneatur, an viri,
Non certum se scire ait: sed quod multum semper amoris
Mero infuderit, & tandem fugiens abierit.
Et dixit domum illi refertam esse coronis.
Hæc mihi narravit hospita: est autem verax
Nam ad me prius ter aut quater commeare solebat,
Et sæpe apud me deposuit Doricam pyxidem:
Nunc vero dies duodecimus ex quo ipsum non vidi.
Num alias nunc habet delicias, & nostri oblitus est?
Quare ipsum veneficiis amatoriis aggrediar. Sin autem me
Magis offenderit, Orci fores (per Parcas) pulsabit.

152. ΕΣ. Επιῤῥηματικῶς ἀντὶ τοῦ τελευταῖον ᾤχετο φεύγων. ἀντὶ τοῦ τρέχων ἀπῆλθε.

153. ΦΑΤ. Καὶ ἔφη στεφάνοις κοσμεῖν αὐτῷ τῷ ἐρωμένῳ δηλονότι, ἥγνυν χάριν αὐτῷ, σκεῦνα τὰ δώματα. ταῦτά μοι ἡ φίλη εἶπε, καὶ ἔστιν ἀληθὴς κατὰ ταῦτα. ὄντως γὰρ πρὸς ἐμὲ καὶ τρὶς καὶ τετράκις τ᾽ ἡμέρας ἔρχετο, καὶ εἰς τ᾽ οἶκόν μου πολλάκις ἐτίθει τὴν Δωρίδα ὅλπαν ἴσως τὴν λήκυθον, τὴν ἔχουσαν τὸ ἔλαιον, ᾧ ἐχρῶντο οἱ ταῖς παλαίστραις.

156. ΟΛΠ. Ολπη κυρίως, ἡ δερματίνη λήκυθος, δι᾽ ἧς ἐστὶν ὀπλήσασθαι τὸ ἔλαιον. νῦν δὲ ἴσως τὴν χαλκῆν φησὶ λήκυθον, ἀφ᾽ οὗ τὸ Δωρίδα φάναι, ἀντὶ Κορινθίας. τὰ γὰρ Κορίνθια χαλκώματα ἀφωσιώθησαν.

158. ΗΡ. Ηθικῶς ἐπαπορεῖσα φησί. ἆρα οὐκ ἔχει τι ἄλλο τερπνὸν, καὶ ἡμῶν ἐπιλέλησαι;

159. ΦΙΛ. Τοῖς φαρμάκοις τοῖς εἰς φιλίαν κινοῦσι, καταγοητεύσω. ἐὰν δέ με ἔτι λυπήσῃ, νὴ τὰς μοίρας τὴν τοῦ ᾅδου κρούσῃ πύλην. τουτέστιν ἀποθανεῖται.

161. ΤΟΙ.

Τοῖά οἱ ὄν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
Ἀσυρίω, δέσποινα, παρ' ξείνοιο μαθοῖσα.
Ἀλλὰ τὺ μὲν χαίρουσα, πρὸς Ὠκεανὸν τρέπε πῶλους
Πότνι'· ἐγὼ δ' οἰσῶ τ' ἐμὸν πόνον, ὥσπερ ὑπέσταν.
Χαῖρε Σελαναία λιπαρόχροε· χαίρετε δ' ἄλλοι
Ἀστέρες, εὐκήλοιο καθ' ἅντυγα νυκτὸς ὀπαδοί.

Talia ei in ciſtella venena me dico ſervare,
Quæ, ô domina, ab Aſſyria hoſpite conficere didici.
Verum tu vale, atque ad Oceanum equos flecte
Veneranda: ego vero dolorem meum feram ſicut ſuſcepi.
Vale Luna nitido corpore: valete & alia
Sidera, quæ placidæ noctis currum comitari ſoletis.

161. ΤΟΙ. Τοιαῦτα κακὰ φάρμακα φημὶ κατ' αὐτῇ φυλάσσειν σὺ κίστῃ, ἤγουν σὺ κιβωτίῳ, ὦ δέσποινα. πρὸς σελήνην τοῦτο λέγει. παρὰ δὲ ἐμοῦ δὲ Ἀσυρίᾳ τοιαῦτα μαθοῦσα. Ἀσσύριοι δὲ, ἔθνος Περσικὸν, ἀκριβεῖς εἰς μαγείαν, μεταξὺ ὂν Τίγριδος καὶ Εὐφράτου. μέχρι δὲ τίνων τῶν περάτων, Σαρδαναπάλου ἐξέτεινε τὰ ὅρια.

163. ΑΛΛ. Ἀλλὰ σὺ μὲν ὦ σεβασμία σελήνη χαίρουσα, πρὸς Ὠκεανὸν τρέπε τὸ ἅρμα· ἤγουν πρὸς δύσιν. δεκτὴ γὰρ ἐπέχει τὴν σελήνην ἀπὸ τὰς μαγείας. ἐγὼ δὲ ὑπομενῶ τὸν ἐμὸν πόνον, ὥσπερ ἀνεδεξάμην αὐτόν· Χαῖρε σελήνη λαμπρά. χαίρετε ἄλλοι ἀστέρες εὐκήλοιο, τὸ ἑξῆς χαίρετε δὲ ἄλλοι ἀστέρες ἀκόλουθοι τῇ νυκτὸς τῇ εὐκήλῳ, ἤγουν, τῇ ἡσύχῳ. κατὰ τὴν ἅντυγα, ἀντὶ δὲ κατὰ τὸ ἅρμα αὐτῆς ἀπὸ δὲ ἑκηλος κατὰ πλεονασμὸν δὲ υ, εὐκηλος ὁ χωρὶς μὲν δὲ υ, δασύνεται· ὅτι δὲ προσλάβῃ αὐτὸ, ψιλοῦται.

166. ΝΥΚ. Ὅτι δὲ ἐπὶ ἅρματος ὀχεῖται ἡ νύξ· Εὐριπίδης, Ω νὺξ ἱερὰ, ὡς μακρὸν ἵππευμα διάκεις ἀστροφεγὲς νῶτα διφρεύουσα. ἀστέρες δὲ, ὅτι ἐπιγενομένης τῆς νυκτὸς, φαίνονται οἱ ἀστέρες. ποιητικὸν δὲ τὸ τὴν νύκτα ἐπὶ ἅρματος ὀχεῖσθαι, καὶ παράγειν ἡνιοχοῦσαν.

ΤΙΡΟ-

ΥΠΟΘΗΣΙΣ τῦ Τρίτυ Εἰδυλλίυ.

Ἐπιγράφηται μ̃ τὸ Εἰδύλλιον τῦτο Αἰπόλ⊙, ἀπὸ τ̃ ἐρῶντ⊙· ἢ Ἀμαρυλλὶς, ἀπὸ τ̃ κόρης τ̃ ἐραμβρης· ἢ Κωμαστὴς, ἀπ' αὐτῦ τῦ πράγματ⊙. ἐπικωμάζῃ γάρ τις τῇ Ἀμαρυλλίδι, τ̃ ὀνόματ⊙ μὴ δηλεμβύσι, εἰκάσῃς σ̀ ἄν τις Βάττον εἶναι. τῦτον γ̃ αἰπόλον ὄντα, δι' ἑτέρυ ποιεῖ ὁ Θεόκριτ⊙ προσδιαλεγόμβον Κορύδωνι, κ̀ τ̀ ἔρωτα ὃν εἶχε πρὸς τὴν Ἀμαρυλλίδα, ἐμφαίνοντα. Τινὲς ὃ τ̀ Θεόκριτον εἶναι νομίζυσι, ὅκ ἔ, Ἡρά γέ τοι σιμὸς καταφαίνομαι; Σιμιχίδω αὐτὸν καλῦντες. Τὸν Τίτυρον οἱ μὲ κύριον, οἱ ὃ σάτυρον εἶναί φασι. Τὰ ὃ πράγματα εἴη ἂν ἐπὶ Ἰταλίας πρὸς Κρότωνα.

ARGUMENTUM IDYLLII III.

Inscribitur hoc Idyllion Caprarius, à persona amatoris: vel Amaryllis, à nomine puellæ quæ amatur: vel Comastes, ab actione ipsa. Cantu enim quidam blanditur amicæ Amaryllidi, non expresso nomine. Posset autem quis conjicere Battum esse: eum enim pastorem caprarium fingit Theocritus alibi Corydoni colloquentem, & suum erga Amaryllida amorem declarantem. Quidam verò Theocritum esse putant, ex eo quod dicitur, Num tibi simus videor? *Simichidem eum vocantes. Tityrum alii proprium nomen, alii Satyrum significare dicunt. Res autem transacta videtur in Italia juxta Crotonem.*

ΑΙΠΟΛΟΣ, ἢ ΑΜΑΡΥΛΛΙΣ, ἢ ΚΩΜΑΣΤΗΣ, Εἰδύλλιον γ'.

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα· ταὶ δέ μοι αἶγες
Βόσκονθ' καὶ ὗες, κ̀ ὁ Τίτυρ⊙ ἀυτὰς ἐλαύνῃ.

CAPRARIUS, vel AMARYLLIS, vel COMASTES, IDYLLION III.

VAdo ad Amaryllida: capræ autem mihi
In monte pascuntur, & Tityrus eas agit.

ΚΩΜ. Τὸ πρόσωπον ὐκ ἔῃ φανερὸν τὸ προλογίζον. οἱ μ̀ φασὶν αὐτὸν Θεόκριλον εἶναι, ἀφ̀ τὸ σιμὸν αὐτὸν καταφαίνεσθαι· οἱ ὃ Βάττον, αἰπόλον τινὰ, ὃν σ̀ ἑτέρῳ εἰσάγει τ̃ Ἀμαρυλλίδ⊙ ἐρῶντα. ἀπρεπὲς γ̃ τὸν Θεόκριτον τῆς ἀγρώας ἐᾶν, ὥστε κ̀ σ̀ ἀγρῷ διάγῃν.

Δ. ΤΙΤ. Τὰς ἀργὰς; τιτύρους λέγυσι,

Τίτυρ' ἐμὶν τὸ καλὸν πεφιλαμμένε, βόσκε τὰς αἶγας,
Καὶ ποτὶ τὰν κράναν ἄγε Τίτυρε· κὴ τ' εὐόρχαν
Τὸν Λιβυκὸν Κνάκωνα φυλάσσεο, μὴ τὺ κερύψῃ.
Ω χαρίεσσ' Ἀμαρυλλί, τί μ' οὐκέτι τῦτο καθ' ἄντεον
Παρκύπτοισα καλεῖς τ' ἐρωτύλον; ἦ ῥά με μισεῖς;
Η ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἥμυ,

O Tityre, mihi bene care, pasce capellas,
Et ad fontem duc ô Tityre: & illum coleatum hircum
Libycum Cnaconem caveto, ne te cornu feriat.
O dulcis Amarylli, quare me non amplius prope hoc antrum
Procumbens vocas amatorculum tuum? num me odisti?
Num tibi fimus videor, cum prope adsum,

ἐγγυσι, νῦν δὲ ὄνομα ἐσὶν αἰπόλε, κατὰ ἐμφέρειαν δ' χαρακτῆρος. Αλλως. ὄνομα κύριον ὁ Τίτυρος. τινὲς δὲ φασιν ὅτι Σφληνός τις, ὁ Σικελιώτης. ἄλλοι δὲ τὸν τράγον, ἕτεροι τὸν σατύρον· ἔνιοι ὄνομα πόλεως Κρήτης. ἄλλοι δὲ τὸν προεστῶτα τῶν θείων, τινὲς δὲ κὴ κάλαμον. ὀκ ἔστι δὲ ἄλλο ἢ ὄνομα αἰπόλε τινός. Αλλως. Κωμάσδω] τὸ κωμάζειν λέγεται ἐπὶ τῶν κατὰ νύκτα εἰς τὰς ἐρωμένας ἀπερχομένων. ὡς Αριστοφάνης ἐν Πλούτῳ· Εοικε δ' ἐπὶ κῶμον βαδίζειν. Απέρχομαι πρὸς τὴν Αμαρυλλίδα, ἀποπρασόμενος αὐτῆς, δι' ὠδῶν κὴ λόγων τ' ἐπὶ τῦτο σωτηρόντων. Τίτυρος δὲ, ὁ πίθηκος ὁ μικρὰν ἔχων ἀρὰν, συναῦθα δὲ ὄνομα κύριον.

3. ΠΕΦ. Ηγυν ἀφ' τὸ καλὸς ἐμοὶ πεφιλημένε. ἢ τὸ καλὸν, ἀντὶ δ καλῶς, ἢ ἀφ' τὸ καλόν. ἤγυν, ἀφ' τὸ καλὸς εἶναι. ἢ ἀφ' τὸ καλὸν σε εἶναι πεφιλαμένε. ἢ καλῶς ἀγαπώμενε, ὅ ἐστιν, ἄξιε ἀγαπᾶσθαι· ἢ τὸ καλὸν, ἀντὶ δ λίαν· ἢ κατὰ τὴν ἀδιάλυτον φιλίαν.

4. ΚΑΙ. Οὐκ ἔλαττον τ' τροφῆς ὀνίνησι τὰ θρέμματα τὸ πιεῖν. Ομηρος, πιόμην σὺν βοτανῇ. ΚΑΙ. Τὸν ὄρχιν μεγάλως ἔχοντα, τ τέλειον, ἢ ἡμιτομίαν. κὴ Ομηρος, Πεντήκοντα δ' σύοχα παρ' αὐτόθι.

5. ΚΝΑ. Τὸν κήκιν χρειὰν ἔχοντα. ἔκφυγε ἵνα μή σε κερατίσῃ. Αλλως. Κνάκωνα, τ λευκὸν τράγον. ἀπὸ τ κνήκης δ σπέρματος λευκὸν ὄντος, ἢ λάγνον. μή τυ κορύψῃ. μή σε κερατίσῃ. τὸ γὰρ κερατίζειν κορύττειν οἱ Αττικοὶ λέγουσιν, ὡς συντρεχόντων ἀλλήλοις τ κριῶν, κὴ τὰς κορυφὰς πληττόντων κὴ συγνυομένων. τὸ δὲ κορύψῃ, ἀ σπᾶται. τὰ γὰρ ὑποτακτικὰ, ὁμοίως ἡμῖν οἱ Δωριεῖς προφέρουσι.

7. ΕΡΩ. Τὸν ἐράσμην, τ ἐρωτικὸν, ὑποκορισικῶς, ὐχ ὡς τινες κύριον, παροξύνονται δὲ τὰ τοιαῦτα πλὴν δ ὄξυνος, κὴ δ ἴυλος. Παῖδ' ὁλοφυρομένην ἴυλον. οἷον ἐρωτύλος, Αἰχύλος, Ερμύλος, Σιμύλος.

8. ΣΙΜ. Τινὲς ἀφ' δ σιμοῦ, τ Θεόκριτον φασίν, ἐπεὶ κὴ ἐν τοῖς Θαλυσίοις Σιμιχίδας ἀπόμακται·

Νύμφα, ἢ βαρβάτευ; ἀπάγξασθαί με ποιησεῖς.
Ηνί δέ τοι δέκα μᾶλα φέρω τηνῶνδε καθεῖλον,
Ω μ' ἐκέλευ καθελεῖν τύ· ἢ αὔριον ἄλλα τοι οἴσω.
Θᾶσαι μάν νυμφαλγὲς ἐμὸν ἄχος. αἴθε γενοίμαν
Α βομβεῦσα μέλισσα, ἢ ἐς τὸν ἄντρον ἰκοίμαν,
Τὸν κισσὸν διαδύς, ἢ τὰν πέριν ἃ τύ πυκάσδῃ.

O Nympha, & barbatus? efficies ut me ſuſpendam.
Ecce mala decem affero tibi, ex eo loco decerpta
Unde me juſſiſti decerpere; cras alia afferam.
Reſpice quæſo acerbum dolorem meum: utinam fierem
Suſurrans apicula, atque in tuum antrum venirem,
Penetrans per hederam & filicem, quæ te circundant.

πλὴν ἐκ αἰπόλος ὁ Θεόκριτος, ἐδὲ Σιμιχίδας ἀπὸ Σ σιμῦ, ἀλλ' ἀπὸ Σιμοίχε πατρωνυμικόν.

10. ΗΝΙ. Αντὶ Σ ἰδύ. θασύνεται δὲ, ἢ ὀξύνεται τὸ ἠνί, ἢ παρ' Ατλιεῦσιν ὕτω προφέρεται. ΤΗΝ. Εξ ἐκείνε Σ τόπε· ἐκεῖνος γὰρ ἦν, οἱ δὲ Δωριεῖς τὸ ἐκεῖνος τῆνος φασίν.

11. ΕΚΕ. Εκέλευσας ἦν, ἢ κατὰ ἀποκοπὴν Δωρικῶς, ἐκέλευ. ἡ κέλω λέγεται τὸ προτάττω. ὁ παρατατικὸς, ἐκέλομεν, ἐκέλε, ἢ Αἰολικῶς, ἐκέλευ. οἱ γὰρ Αἰολεῖς τὴν ε εἰς ευ, τρέπουσιν. Αλλως. Ηρά γέ τοι] ἦ ῥά σοι ὦ νύμφη σιμὸς φαίνομαι εἶναι ἀπὸ Σ πλησίον ; ἤγεν σωνιζηκυῖαν ἔχαν τὴν βίνα ἢ προγένῃ ; ἤγεν, προμήκης τὴν γενάδα ; νύμφην δὲ λέγῃ αὐτὴν, ὡς περικαλλῆ, ἢ νύμφαις ἐοικυῖαν. νύμφαι δὲ εἰσὶ, τὰ ἐν γυναικείῳ σχήματι ἐν τοῖς ὄρεσι φαινόμενα δαιμόνια. Ω μ' ἐκέλευ] ἤγεν· ἐφ' ἔ τόπε ἐκέλευες. κέλομαι γὰρ ποιητικῶς τὸ κελεύω ἢ προστάττω. ἀφ' ἔ, τὸ ἐκέλε, ἢ ἐκέλευ.

12. ΘΑΣ. Θέασαι δὴ τὴν λύπω, ἥτις τὴν ψυχήν μυ ἀλγεῖν ποιεῖ. ἡ μεταφορὰ ἀπὸ Σ ὁρατῶν ἐπὶ τὰ νοήματα. Ομηρ. Οσσόμ. πατέρ' ἐσθλόν.

13. ΜΕΛ. Εὔχεται γενέσ μέλισσα, ἢ ἵνα κεντῆσας ἀντοδυνήσῃ, ἢ ὑπὲρ Σ λαθεῖν, εἰσέλθῃ. μέλισσα δὲ, παρόσον ἐπὶ Σ μήλων ἵζάνῃ. μῆλα δὲ πάντα τὰ ἄκρα Σ δένδρων. Ομηρ. Αὐτῇσιν ῥίζῃσι, ἢ αὐτοῖς ἄνθεσι μήλων. Αλλως. Ισορία· Ροῖκός τις Κοίλ. τὸ γένος ἐν Νίνῳ τῇ Ασσυρίων, ἰδὼν ἐυφυές τι δένδρον κεκλιμένον, ἢ ἀπὸ Σ χρόνε καταπίπτῃν μέλλον, κάμακι συνεπέρεισας, ἐπὶ πλέον μένειν ἐποίησεν. ἡ δὲ νύμφη θεασαμένη, χάριν αὐτῷ ὡμολόγησεν· ηλικιῶτις γὰρ ἔφη εἶναι Σ φυτῦ, ἢ ἐκέλευσεν αὐτὸν εἴ τι ἂν ἐθέλῃ, αἰτεῖσθαι. ὁ δὲ τὴν σωτηρίαν αὐτῆς ἠτήσατο. ἡ δὲ ἔφη αὐτῷ ὅτι τὸ καιρὸν τ μίξεως ἀφικνυμένη σοι μέλισσα ἐρεῖ· μήποτε ἓν τ ἱστορίας ταύτης μέμνηται ὁ Θεόκριτος, ἀφ' τὸ τὴν μέλισσαν ἀκοῦσαι πρὸς τὰς ἄρατας ; πλέρις δὲ, εἶδος βοτάνης ὁμοίας πτερῷ στρουθοκαμήλε, ἀφ' ἧς ἢ σισάδος ἐπὶ κλίνης ἐγένοντο τῶν ἀγροίκων, ἀφ' τὴν μαλακότητα, ἢ ἀφ' τὸ ἀπ-

Νῦν ᾔγνων τ' Ερωτα, βαρὺς θεός· ἦ ῥα λεαίνας
Μασδὸν ἐθήλαζε, δρυμῷ τέ μιν ἔτρεφε μάτηρ·
Ος με καταμάψας κ' ἐς ὀστέον ἄχρις ἰάπτει.
Ω τὸ καλὸν πολιορῶσα, τὸ πᾶν, λίθος· ὦ νανόφρυ
Νύμφα, περίσπυξαί με τ' αἰπόλον, ὡς τὸ φιλάσω·
Ἐστι κ' ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις.
Τὸν στέφανον τίλλαί με καταυτίκα λεπτὰ ποιήσεις,
Τόν τοι ἐγὼν Αμαρυλλὶ φίλα κισσοῖο φυλάσσω,

15 Nunc ſcio quid ſit amor, fævus eſt Deus: certe leænæ
Mammam ſuxit, & in ſaltibus ipſum educavit mater:
Qui me penitus urens, uſque ad oſſa conficit.
O puella dulci aſpectu, tota ſaxea, ô nigris decora ſuperciliis
Nympha, amplectere me caprarium, ut te deoſculer.
20 Ineſt & in oſculis inanibus dulcis voluptas.
Facies ut ſtatim coronam hanc in minutas partes diſcerpam,
Quam tua cauſa, ô cara Amarylli, ex hedera nexam gero,

λόπεδιάκῃ τῇ ὀσμῇ τὰς ὄφεις. καλεῖται ϗ κ' βληχρόν.

15. ΛΕΑ. Οὐκ ἀφ' ἱστορίας, ἀλλὰ ἀφ' τὸ ἄγριον. κ' γὰρ Αχιλλέυς, Θέτιδ Πηλέως· ἀλλὰ ἀφ' τὸ ἄγριον φησὶν Ομηρος· γλαυκὴ δέ σε τέκτε θάλασσα. Αλλως. Οντως λεόντης μαζὸν ἐθήλαζε, κ' ἐν τῷ δρυμῷ ἀνέτρεφεν αὐτὸν ἡ μήτηρ αὐτῦ. τὸ ἄγριον αὐτῦ κ' θρασήριον, διὰ τούτων θέλῃ δηλῶν. ἄγρι ϗ λέγεται ὁ ἥρως κ' ἀνήμερος, ἐπεὶ ὃς ἂν κατάσχῃ, ἀγρίως ποιεῖ κ' ἀνημέρως.

17. ΚΑΤ. Σμύχω τὸ καίω υ ψιλόν. Σμήχω ϗ τὸ καθαίρω, η, ἐξ ὃ κ' σμῆγμα τὸ σαπώνιον.

18. ΠΟΘ. Ηγυν, ὦ ἡ τὸ καλὸν ὁρῶσα, τυτέσιν ὦ ἡ καλὰς ἔχουσα ὀφθαλμούς. ΛΙΘ. Ηγυν, σκληρὰ κ' ἄθικ, ἢ μονονυχὶ τὰς ὁρῶντας ἀπολιθοῦσα τῷ κάλλει, οἷον δὲ Γοργόνος λάγυσιν. ἢ λάυκη ὅλη οἷον ἄγαλμα μαρμαρίνον. ἐὰν δὲ γραφῇται λίπ Αφ' π, ἴσαι ὦσιν· εἰς ἣν ὀλιθαίνουσι πολλοὶ Αφ' τ' ἔρωτα· ὀλιθηρὰ γὰρ τὰ λιπαρά, ἢ ἡ βλέπουσα λιπαρόν τι ϗ λάυκόν. ὡς Ομηρος. λάυκοὶ, ἀπειλήσαντες ἀλοιφῇ. ἢ σκληρὰ κ' ἀδαμαντίνη, Αφ' τὸ ἀνηλεὲς κ' ἀνένδοτον. Αλλως. τὸ πᾶν λίθ] ἐπιρρηματικῶς, ἀντὶ δ' ὅλως. τυτέσι, σκληρὰ σφόδρα κ' ἀμείλικτ.

21. ΤΙΛ. Τὸ ἑξῆς. ἤτοι κατατῖλαι, κ' κατακόψαι με ποιήσῃς εἰς λεπτὰ τ' στέφανον. στεφάνοις ἐχρῶντο σὺν τοῖς συμποσίοις, ὡς φησιν Αριστοτέλης, ὑγιεινίαν κ' ἀφθονίαν αἰνιττόμενοι τροφῶν. στέψαι γὰρ τὸ πληρῶσαι παρ' Ομήρῳ, Κῆρες δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο. Αλλως. ὁ νῦς· ποιήσῃς με αὐτίκα τῖλαι εἰς λεπτὰ, ἤγουν διασπαράξαι, ϗ τεμεῖν τ' στέφανον, ὃν χάριν σοῦ ὦ Αμαρυλλὶ φίλη φυλάσσω, ἐμοὶ πλέξας αὐτὸν καλυξὶ κισσοῦ· ἀντὶ δ' κορύμβοις, ϗ ἰυώδεσι σελίνοις.

Εμπλέξαι καλύκεσι καὶ δύοδμοισι σελίνοις.
Ω μοι ἐγώ, τί πάθω; τί δ' ὀδύσσομαι; οὐχ' ὑπακούεις;
Τὰν βαίταν δ' ἀποδύς, εἰς κύματα τοῖα ἁλεῦμαι,
Ὥπερ τὼς θυννως σκοπάζει Ὄλπις ὁ γερπός.
Κἤκα μὴ 'ποθάνω, τό γε μὰν τεὸν ἆδυ τέτυκται.
Ἔγνων ὡραῖον, ὅκα μοὶ μεμναμένω εἰ φιλέεις με,
Οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,

Implexis folliculis, & odorato apio.
Hei mihi, de me quid fiet? mihi infelici quid accidit? non exaudis?
Exuto pelliceo in hos fluctus me conjiciam,
Ubi thynnis insidiatur Olpis piscator.
Et quamvis non fuero mortuus, tu tamen voluptatem capies.
Intellexi nuper, cum quærerem an me amares,
Telephilon allisum non edidit sonum,

24. ΔΥΣ. Ὁ δυσκόλως σωζόμενος, ἢ ὁ δυχερῶς διακόμενος. λαοσσόος γὰρ ἡ Ἀθηνᾶ, ἡ λαὸν διώκουσα, ἢ σάζουσα. δύσσον γὰρ οἱ μὲν τὰ κακοδαίμονα, οἱ δὲ τὰ δυχερῶς σωζόμενα, παρὰ τὸ σάος. καὶ Ὅμηρος· Ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.

25. ΒΑΙΤ. Τὴν μηλίδα τὴν, ἢ τὴν διφθέραν φησὶν ἀπορρίψας, καὶ ἐκδυσάμενος, εἰς τὴν θάλασσαν ἁλοῦμαι, ὅ ἐστι, πηδήσω, ἢ ἐμαυτὸν ῥίψω, ὅθιν ὁ Ὄλπις ὁ ἁλιεὺς σκοπιάζεται, ἤγουν ἀπὸ μετεώρου τόπου σκοπεύει, ἢ ἀγρεύει τοὺς θύννους, τοὺς ἰχθύας. τὸ δὲ ὄλπις, ἀπὸ τοῦ λέπω, λοπὶς, καὶ ὑποπτώσει τοῦ ο ὄλπις, ὁ τοὺς λεπιδωτοὺς ἰχθύας ἀγρεύων, ἢ τοὺς ἐλλοπας. ἔστι δὲ πεποιημένον ὄνομα, ἢ κύριον τοῦ ἁλιέως. Ἄλλως. Ὄλπις, τὸ ὄνομα τοῦ ἁλιέως, παρὰ τὴν λεπιδα τῶν ἰχθύων, ἢ παρὰ τὴν τοῦ σώματος ὀξίνην. ὄλπιν γάρ φασι τὴν λήκυθον· ὡς εἶναι παρὰ τὴν σμικρότητα τὸ ὄνομα. ἢ ὄλπις ὁ τοὺς ἐλλοπας ἄγρευων, κατὰ διαφορὰν τῶν ἄλλων ἁλιέων. εἰσὶ γὰρ καὶ ἕτεροι, οἱ περὶ τὰ ὄστρια ἀσχολούμενοι.

27. ΚΗΚ. Καὶ ἐὰν μὴ ἀποθάνω φησὶν, ὅμως εὐφραινθήσῃ ὅτι ἔρριψα ἐμαυτόν. ἢ τίνος τὸ πρᾶγμα, ὃ σε τέρπει γεγένηται.

28. ΕΓΝ. Ὁ νῦν πρὸ ὀλίγου, ὅτε σημεῖον θέλοντός μου λαβεῖν εἰ φιλεῖς, τὸ φύλλον δι' οὗ ἡ φιλία δηλοῦται, ἀπὸ τῶν χειρῶν πλησσόμενον, οὐκ ἀφῆκε τὸν ψόφον.

29. ΟΥΔ. Ἐν ἄλλοις γράφεται καὶ ἀπὸ τοῦ· Οὐδὲ τὸ τηλίφιλον ποτιμαξάμενον πλατάγησιν· τηλίφιλον δέ ἐστι τὸ φύλλον τὸ μήκωνος, ἄλλοι δὲ βοτάνην ἑτέραν λέγουσιν εἶναι αὐτό. εἴτε δὲ τοῦτο, εἴτε ἐκεῖνό ἐστιν, ἀναλαμβάνεται παρὰ τῶν ἐρώντων τὸ τηλίφιλον, καὶ πλησσόμενον εἰ ψόφον ἀπειτέλῃ, ἐδίδου αὐτοῖς σημεῖον, ὅτι ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων· εἰδ' οὐκ ἀπειτέλῃ, ὅτι μισοῦνται. εἴρηται δὲ τηλίφιλον, κατὰ κοινωνίαν τοῦ τ, πρὸς τὸ θ, οἱονεὶ θηλίφιλόν τι ὄν, τὸ θηλῶν τὸ

Ἀλλ' αὔτως ἀπαλῷ ποτὶ πάχεϊ ἐξεμαράνθη.
Εἶπε κ' Ἀγροιὼ τὰλαθέα, κοσκινόμαντις,
Ἃ ποκὰν ποιολογεῦσα παρ' ἰβάτις, ὕνεκ' ἐγὼ μὶν
Τὶν ὅλῳ ἐγκειμαι. τὺ δὲ μὰν λόγον ἐδέν' ποιῇ.
Ἦ μὰν τοι λυκὰν διδυματόκων αἶγα φυλάσσω,
Τὰν μὲ κ' ἀ Μέρμνωνος Ἐριθακὶς ἀ μελανόχρως

30 Sed frustra in tenero cubito exaruit.
Dixit & Agræo verum, cribellaris vates,
Quæ nuper spicas legebat, mercede conducta, quod ego quidem
Tibi totus incumberem, tu verò me nihili faceres.
Certe tibi servo capram albam geminorum matrem:
35 Eam à me filia Mermnonis nigella Erithacis

τ' φίλον. Ἄλλως· τὸ τηλίφιλον, βίζιόν τι θαμνῶδες. κάτωθεν δὲ ἀναβάνῃ τρίκλωνον· τὰς δὲ κλῶνας ἔχῃ δραχμῆς μείζονας ἀποθαμιάιας· τὰ δ' φύλλα ἔοικε τῷ σπέρμῳ λωτῷ. λοβὸν δὲ ἀφίησιν ἑλικοειδῆ, ἐν ᾧ τὸ σπέρμα, ὃ ἐπιχρισμῷ, ὁ χρὼς ἐξαιματτεται, κ' τύπους τινὰς λαμβάνῃ· ὁ μόνον δὲ ἐπὶ τὰς χεῖρας, τὸ τηλίφιλον, ἀλλὰ κ' ἐπὶ τ' ὦμον τιθέντες, ἐθ' ὅτι κ' ἐπὶ τ' πῆχυν, ἐπεπήρωντο τ' ψόφου. Ἄλλως. τινὲς τῶν ἐρωτικῶν τὸ τηλίφιλον ἐπὶ τ' ὦμον τιθέντες, ἢ τ' καρπὸν, ἐπικρύουσι. κ' ἐὰν μὴ ἐρυθρὸν γίνηται, καλοῦντες αὐτὸ ῥόδιον, νομίζουσιν ἀγαπᾶσθ' ὑπὸ τῶν ἐρωμένων. τ' χρώματος δ' ἐμπρηθέντος, ἢ ἐλκωθέντος, μισοῦσθ'. πλατάγημα δὲ τὸ πλαταγώνιον. ποτέμαξατο δὲ ἤγνυ, προσήκατο ἐξ αὐτᾶ τυπόμενον ψόφον.

30. ΠΑΧ. Τὰς δακτύλους καλεῖ μεταφορικῶς ἀπὸ τ' ἀγκώνος, κάι φησι πρὸς τ' πῆχυν ἐξεμαράνθη ψόφον μὴ ποιῆσαν· ἢ τὸ αὔτως ἴσως μηδὲν ἀνύσαν παρὰ τᾷ ἀπαλῷ πήχυϊ· ἀντὶ τοῖς ἀπαλοῖς δακτύλοις.

31. ΑΓΡ. Ἀγροιὼ, ἔνομα κύριον, ἀδέπω γ' τὴν γραῖαν ἔτω φασίν. ἢ τὴν ἀγροικικὴν, τὴν ἐπὶ τῶν ἀγρῶν τρεφομένην. ΚΟΣ. Ἤγνυ ἢ ἄλῳ κοσκίνῳ μαντευομένη.

32. ΠΟΙ. Ἡ πρώϊα σαχνολογοῦσα, ἤγνυ τὰς σάχνας ἀναλιγομένη. ποίαν δὲ ἴσως τ' πυρὸν, κατ' ἐξοχὴν, ἀφ' ἃ κ' τ' σεαυτὸν ποιᾶν σκάλισαν· ποιὸς γὰρ κυρίως ὁ πυρός. ἢ ἀπὸ τ' ποία ἡ βοτάνη. ἢ ἡ πρὶν καλάμην συλλέγουσα, κ' σαχνολογοῦσα. ΠΑΡ. Ἡ ὄνομα κύριον, ἢ ἡ ἐπομένη κ' παρακολουθοῦσα τοῖς θερισταῖς, ἢ ἀκόλουθος.

35. ΕΡΙ. Ἤγνυ, μισθώτρια, ἀπὸ τ' ἔριθος ὑποκοριστικῶς· ἢ ὄνομα κύριον. ἔστι δὲ κ' ὄρνιον, ἀφ' ἃ τὸ ὄνομα.

Αἰτεῖ· κ᾽ δωσῶ οἱ, ἐπεὶ τύ μοι ὐδιαθρύπτῃ.
Αλλεταί μοι ὀφθαλμός μοι ὁ δεξιὸς· ἆρά γ᾽ ἰδήσω
Αὐτάν; φοσσῦμαί ποτι τὰν πίτυν ὥδ᾽ ἀποκλινθείς.
Καί κέ μ᾽ ἴσως ποτίδῃ· ἐπεὶ οὐκ ἀδαμαντίνα ἐντί.
Ιππομένης ὄκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
Μᾶλ᾽ ἐνὶ χερσὶν ἔλων, δρόμον ἄνυεν· αὐτὰρ Ατάλαντα

Petit; & dabo ei, quoniam tu me ludificaris.
Saltat mihi oculus dexter. Num nam videbo
Ipsam? cantabo ad pinum hic reclinatus.
Et forte me aspiciet, quoniam non adamantina est.
Hippomenes cum virginem cuperet ducere,
Poma in manus accipiens, cursum perfecit: verum Atalantal

36. ΕΝΔ. Απενοῆ κ᾽ ἰμβολαμίνη, σπαταλᾶς, τρυφᾶς.

37. ΑΛΛ. Δοκοῦσιν οἱ ὀφθαλμοί μου ὄψεσθαί τινα τῶν οἰκείων ἂν ἅλλονται. ὁ δεξιός μου ὀφθαλμὸς ἅλλεται κ᾽ πηδᾷ· ἆρά γε θεάσομαι αὐτήν.

38. ΑΣΕ. Εκείνους, τραπεὶς ὧδε πρὸς τὴν πίτυν, φοσσῦμαι Δωρικῶς, ἤγουν ἁσομαι· τὸ κοινῶς, τραγῳδήσω. ΠΟΤ. Καί μι ἴσως ἂν προσίδῃ. ἐπεὶ οὐκ ἀδαμαντίνη, ἤγουν, ἀπὸ λίθου ἀδάμαντος κατεσκευασμένη· ἀλλ᾽ ἄνθρωπός ἐστι θηλυότατι, συμπάθειαν δέξασθαι δυναμένη.

40. ΙΠΠ. Ιστορια. ὁ Ἀρεος Ιππομένης τῆς Σχοινίας Ατελάντης τῆς δρομάιας ἐραστὴς, Αφροδίτης συνεργούσης ἔδραμε ἐπὶ τ᾽ ἀγῶνα. ἦ γὰρ ἴσθ᾽ τ᾽ ἀγωνιζόμενον τῷ δρόμῳ ἡττηθέντα θνήσκειν, ἢ περιγενόμενον δρόμου, λαμβάνειν τὴν κόρην. ἔχων οὖν παρὰ τῆς θεᾶς μῆλα χρυσᾶ ἓξ τῶν Εσπερίδων κήπου, τῷ δρόμῳ ἔρριπτεν ἕκαστον αὐτῶν. ὅτε δὲ ἀσχολουμένης τῆς κόρης ἐπὶ τῇ τῶν μήλων συλλογῇ, ἐλείφθη. λαβὼν δὲ αὐτὴν γυναῖκα μετεμορφώθη εἰς λέοντα, ἐν ἱερῷ τόπῳ συνιλθὼν αὐτῇ. Αλλως. Αὐ Ατελάντα] Δύο Ατελάνται εἰσί· ἡ μὲν ἐν Αρκαδίᾳ, ἡ δὲ ἐν Βοιωτίᾳ, ἡ Σχοινέως θυγάτηρ. ἡ μὲν οὖν Αρκαδικὴ Ατελάντη, τοξότις ἦν δεινή· ἡ δὲ Βοιωτικὴ δρομάιαν οὖσα, προσέθετο τ᾽ γάμον αὐτῆς, εἴ τις νικήσῃ αὐτὴν δρόμῳ, λαβεῖν αὐτήν· κ᾽ πολλοὺς θελήσαντας νικῆσαι, ἀπέλεν. Ιππομένης οὖν συνεργὸν ἔχων τὴν Αφροδίτην, κ᾽ λαβὼν παρ᾽ αὐτῆς μῆλα χρυσᾶ, κ᾽ παραγενόμενος τῷ δρόμῳ, ἔρριπτεν ἕκαστον αὐτῶν εἰς τὸ πίσω. ἡ δὲ ἐυθέως ἐπὶ τ᾽ ἥμισυ τῶν μήλων ἐγένετο, κ᾽ ἐλείφθη. ὁ δὲ αὐτῶν ἐνίκησε, κ᾽ γυναῖκα αὐτὴν ἔλαβε.

42. ΩΣ.

Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺ ἄλλετ' ἔρωτα.
Τὰν ἀγέλαν χὠ μάντις ἀπ' Οθρυος ἄγε Μελάμπους
Ες Πύλον· ἁ δ' ἐν Βίαντος ἐν ἀγκοίνᾳσιν ἐκλίνθη
Μάτηρ ἁ καλλίεσσα Φερήνος Ἀλφεσιβοίας.

Ut vidit, ut insaniit, ut in profundum incidit amorem!
Egit & vates Melampus armentum ab Othry monte,
In Pylum, in amplexu vero Biantis jacuit
Pulcherrima *Pero*, mater sapientis Alphesibœæ.

42. ΩΣ. Τὸ ὡς, ἀντὶ τοῦ ἐυθέως. καὶ Ομηρος· Ως ἴδεν, ὡς μιν μᾶλλον ἔδυ χόλος. οἱ δὲ ὕτως· ὄντως ὡς εἶδε τὰ μῆλα, λίαν ἐμάνη· ἐπίτασιν γὰρ ἔχει τὸ ὡς ἐπ' αὐτοῖς. Ως εἰς βαθὺν ἔρωτα αὐτῶν, δηλονότι τῶν μήλων, ἄλλετο, ἀντὶ τοῦ ἦλατο, τυτέσιν, ἐπέπεσε. βαθὺν δὲ λέγει τὸν ἔρωτα, ἀπὸ μεταφορᾶς τῶν βαθείας ὕλης, ἤτοι διασίας.

43. ΜΕΛ. Ιστορια. Νηλεὺς ὁ Τυρῶς ἔχων θυγατέρα, ὑπ ἐδίδε αὐτὴν τινι γυναῖκα, εἰ μὴ τῷ σωτιθεμένῳ ἀγαγεῖν αὐτῷ τὰς Ιφικλε βῶς ἀπ Φυλάκης. Βίας δ ὁ Μελάμποδος ἀδελφὸς, ἦρα αὐτῆς σφόδρα. Μελάμπους δ θέλων τῷ οἰκείῳ ἀδελφῷ Βίαντι τὴν κόρην δῦναι, τὸν κίνδυνον ὑπέστη. συλληφθεὶς δ ὑπὸ τῶν βυκόλων τοῦ Ιφίκλε, ἐδεσμεύθη, ἤτοι ἐν φυλακῇ ἐβλήθη. μέλλοντος δ τοῦ δωματίε ἐν ᾧ ἦν πίπτειν, μάντις ὢν προεμήνυσεν· ἐν ᾧ καταπληχθεὶς ὁ Ιφικλος ἤλυσε, καὶ ἤρετο αὐτὸν ὡς μάντιν, πῶς ἂν παῖδας ποιήσῃ. ἄτεκνος γὰρ ἦν, ἀπ τοιαύτης αἰτίας. ἀπτέμνοντι ποτὲ τῷ πατρὶ Φυλάκῳ δένδρον, ἀφ' ὗ καὶ ἡ χωρα Φυλάκη ἐκαλεῖτο, ὁ Ιφικλος παῖς ὢν σφυρήκῃ· ὃν σπλῆξαι θέλων ὁ πατὴρ, ἣν εἶχε μάχαιραν εἰς τὸ πλησίον δένδρον ἐμπῆξαι ὥρμησε, καὶ σωιδὴν ἐπενεγκεῖν αὐτὴν τοῖς μορίοις τοῦ παιδός. ἐπεὶ δ ἄγονος ἀπ τοιαύτης αἰτίας ἦν ὁ Ιφικλος, ὁ Μελάμπους ἀνιρώτησας εὗρε τὴν μάχαιραν. καὶ ἐκέλευσε τὸν Ιφικλον, ἀπεξύσαντα τὸν ἰὸν αὐτῆς πίνειν, καὶ ὕτως αὐτὸν πατέρα παίδων ποιήσας, ἔλαβε τὰς βῶς, καὶ τῷ Νηλεῖ ταύτας δίδωσι, καὶ ἀφ' τούτων τῷ ἀδελφῷ Βίαντι τὸν τοῦ Περῶς γάμον ἐξεποιήσατο. Μελάμπους δ ἐκλήθη, ὅτι γυναῖκὰς ἐξετίθη παρὰ τὸ μητρὸς Ροδόπης ἐν ὑψηλῷ τόπῳ παντὸς δ σώματος σκεπομένου, μόνας δ ἦν γυμνὸς τὰς πόδας, καὶ ἐξικαύθη ὑπὸ τοῦ ἡλίε· ὅθεν καὶ Μελάμπους ἐκλήθη.

45. ΑΛΦ. Αἰόλα, τοῦ Ελλω, Σαλμωνεὺς, ἐξ ὗ Τυρώ· ἐξ ἧς καὶ Κρηθέως, Νηλεύς. ἐξ ὗ Περώ· ἐξ ἧς Αλφεσίβοια. Αλλως. Τὰν ἀγέλαν χ' ὠ μάντις] Ο νῦς καὶ ὁ μάντις ὁ Μελάμπους, τὴν ἀγέλιν τῶν βοῶν τοῦ Ιφίκλε ἦγεν, ἀντὶ τοῦ ἤγαγεν ἀπὸ τοῦ Οθρυος εἰς τὴν Πύλον. ἔστι δ Οθρυς ὄρος Θετταλίας, ἐν ᾗ πόλις ἡ Φυλάκη. ἧς ἦρχεν ὁ Ιφικλος, ἃ ἦσαν οἱ βόες. ἡ δ Περὼ ἡ χαρίτων πλήρης, ἡ μήτηρ τοῦ σοφοῦ τὴν φρένησιν Αλφεσιβοίας ἐκλίνθη, ἤγεν, ἀνεπαύσατο. ἐν ταῖς ἀγκάλαις τοῦ Βίαντος τοῦ ἀδελφοῦ τοῦ Μελάμποδος.

Τὰν ϗ καλὰν Κυθέρειαν ἐν ὄρεσι μᾶλα νομεύων
Οὐχ' ὕτως Ἄδωνις ὅπ πλέον ἄγαγε λύσας,
Ὡς ἐδὲ φιλίμβρον μὶν ἄτερ μασδοῖο τίθητι;
Ζαλωτὸς μὰ ἐμίν ὁ τ ἄτρομον ὕπνον ἰαύων
Ενδυμίων. ζαλῶ ϗ φίλα γυῖαι Ἰασίωνα,
Ος τόσων ἐαύρησεν ὅσ' ὐ πύσεῖδε βέβαλοι.

Formosam vero Venerem, cum in montibus pecora pasceret,
Nonne Adonis ita graviter insanire fecit,
Ut ne mortuum quidem ab amplexu suo dimittat?
Beatus meo judicio est, qui æterno somno sopitus jacet,
Endymion. Beatum etiam judico, ô cara mulier, Jasionem,
Qui ea consecutus est quæ non audietis prophani.

46. ΤΑΝ. Ο νῦς· τήνδε δὲ καλὴ Αφροδίτην ὁ Ἄδωνις πρόβατα βόσκων ἐν τοῖς ὄρεσιν, οὐχ' ὕτως ἐπίπολὺ ἤγαγε μανίας ἐρωτικῆς, ὥστε ἐδὲ ἀποθανόντα αὐτὸν, χωρὶς ϗ μαζῦ αὐτ τίθησιν.

48. ΦΘΙ. Ως ὐδὲ τελευτήσαντα τ Ἄδωνιν, ϗ ἰδίᾳ ἑαυτῆς μασῦ χωρίζῃ, ἀλλ' ἀεὶ αὐτῷ ϗ τελευτήσαντι συμπάρεστι. δοκεῖ δὲ ὁ Ἄδωνις μῆνας ἓξ παρὰ Περσεφόνῃ ποιεῖν, ὡς ϗ παρ' Αφροδίτῃ ἄνδ ϗ συγκαθεύδῃν ϗ προσερπίζειν. λέγεται ϗ περὶ ϗ Ἀδώνιδ, ὅτι ϗ ἀποθανὼν, ἓξ μῆνας ἐποίησεν ἐν ταῖς ἀγκάλαις τ Αφροδίτης, ὥσπερ ϗ ἐν ταῖς ἀγκάλαις τ Περσεφόνης. τῦτο ϗ τὸ λεγόμενον, τοιῦτόν ἐστιν ἀληθῶς· ὅτι ὁ Ἄδωνις, ἦγεν ὁ σῖτ ὁ σπειρόμενος, ἓξ μῆνας ἐν τῇ γῇ ποιεῖ ὑπὸ τ σπορᾶς, ϗ ἓξ μῆνας ἔχῃ αὐτὸν ἡ Αφροδίτη, τυτέστιν, ἡ ἐυκρασία ϗ ἀέρ. ϗ ἐκ τότε λαμβάνουσιν αὐτὸν οἱ ἄνθρωποι.

49. ΑΤΡ. Ατρεπτον, ἀμεταπαύστον, αἰώνιον καθεύδων ὕπνον. Ισορία, φασὶ γὰρ ὡς ϗ Ενδυμίων ἠράσθη ἡ σελήνη· ϗ κατὰ τὸ ὄρ τὸ Λάτμιον τ Καρίας κυνηγετῦντι ἐμίγη. ϗ ἀλληγορεῖσιν, ὡς φιλοκύνηγ ὢν, τῇ σελήνῃ συνεθήρα νυκτὸς, ἡμέρας ϗ ὕπνωττεν. Αλλως. Τῦ Ενδυμίων ἠράσθη ἡ σελήνη, ὃν ϗ ἔστ κατὰ τὸ Λάτμιον ὄρ τ Καρίας. φιλοκύνηγος δὲ ὢν, ἡμέρας ὕπνωττε, κατὰ δὲ τὰς νύκτας, λαμπούσης τ σελήνης, ἐξῄει πρὸς θήρας, ἤγεν ἐθήρευε. Διὰ τὸ τὰ θηρία κατὰ τῦτον τ καιρὸν ἐξιέναι. μακαρίζω φησὶ, διὰ τὸ, σκιῶν μὲν φιλεῖσθ ὑπὸ σελήνης, ἐμὲ δὲ μισεῖσθ. Αλλως· Ενδυμίων φασὶ παρὰ τοῖς θεοῖς διατρίβων, ἠράσθη Ηρας. ἐφ' ᾧ χαλεπήνας ὁ Ζεὺς, ἐποίησε καθεύδῃν διὰ παντὸς ἀθάνατα. τὸ δὲ ἄντρον ἐν ᾧ ἐκάθευδεν, ἐν Λάτμῳ τ Καρίας ἦν.

50. ΙΑΣ. Ισορία. Ιασίων ὁ Κρὴς, Κρήτης βασιλεὺς, υἱὸς ἦν Μίνω, ϗ Φερονίας νύμφης. τῦτον ἐν λιμῶνι κοιμωμένῳ, ἡ Δημήτηρ συνῆλθε, ϗ ἔτεκε τ Πλοῦτωνα.

51. ΒΕΒ. Τυτέστιν ἀνάξιοι τ μυστηρίων ϗ ἔρωτ, δηλονότι ἀμύητοι, ἀμυστηρίαστοι, μυστήρια μὴ ἔχοντες. παρεμφαίνῃ δὲ μυστικῶς τ ἔρωτα Ιασίωνος, ϗ Δημήτερ.

52. ΤΙΝ.

Ἀλγέω τὰν κεφαλάν· τύνδ' ὐ μέλει. ὐκέτ' ἀείδω.
Κεισεῦμαι ὔ πεσών, κὴ τοί λύκοι ὧδέ μ' ἔδοντι·
Ὡς μέλι τοι γλυκὺ τῦτο κ' βρόχθοιο γένοιτο.

Doleo caput: tu vero non curas.
non amplius canam.
Jacebo hic ſtratus, & lupi hic me comedent:
Ut iſtud tibi *quaſi* mel dulce ſit in gutture.

52. ΤΙΝ. Σοὶ ὔ ὐ φροντὶς ἐϛὶ τύτῳ δηλονότι. μέλει μοι τῦδε, κὴ μέλει μοι τόδε ποιητικῶς, ἀφ' ὗ σημαινομένῳ, κὴ πρῶτον ἔχει πρόσωπον, κὴ δεύτερον ὡς ἐν τύτοις· Οὐ γὰρ Πιερίδεσσι τόσον μέλω, ὅσσον ἔρωτι. ἐπὶ ὃ τῦ προτέρῳ σημαινομένῳ, ὅτε πρῶτον ἔχῃ πρόσωπον, ὅτε δεύτερον. ὡς τὸ δεῖ, τὸ σημαῖνον, τὸ πρέπῃ. τὸ γὰρ σημαῖνον τὸ λείπεται, ἔχῃ πρῶτον πρόσωπον, τὸ δέω.

54. ΒΡΟ. Βρόχθος λέγεται, τὸ ἐπίλαιμον μέρος, τὸ μετὰ τὸν τράχηλον ποιὸν ἔχον ἀπτελῆν. ἤγεν, ὅπως τῦτό σοι γλυκὺ, ὡς κατὰ βρόχθε μέλι γίνηται, τετίϛι τῦ φάρυγγος.

ΥΠΟΘΗΣΙΣ
τῦ Τέταρτυ Ειδύλλιυ.

Τῦτο τὸ Εἰδύλλιον βυκολικόν ἐστι. Βάττος μέν ἔστιν, αἰπόλος, Κορύδων δέ, βυκόλος, πρὸς ἀλλήλυς διαλέγονται ἀμοιβαίως. ὑποτίθεται δὲ ὁ Θεόκριτος τὸν Κορύδωνα βῦς νέμοντα βυκόλυ τινὸς Αἰγωνος, ὃν φησιν εἰς Ολυμπίαν ὑπὸ Μίλωνος παλαιστῦ ἀχθῆναι, ἰσχυρὸν ὄντα, ὡς ἀγωνίσηται· τὸν δὲ Βάττον ταῦτα πυνθανόμενον, καὶ λέγοντα ὅτι κακῶς αἱ βόες ἔτυχον βυκόλυ, καὶ εἰσὶ λεπταί. Τὰ δὲ πράγματα διάκεινται ἐν Κρότωνι τῆς Ιταλίας.

ARGUMENTUM
IDYLLII IV.

Hoc Idyllion Bucolicum eſt. Porro Battus paſtor caprarius & Corydon bubulcus alternis verſibus inter ſe colloquuntur. Inducit autem Theocritus Corydonem paſcentem vaccas bubulci cujuſdam Aegonis, quem dicit robuſtum exiſtentem à luctatore Milone Olympiam abductum eſſe certandi cauſa : Battum vero hæc interrogantem, & dicentem vaccas malum paſtorem nactas, atque propterea macilentas eſſe. Res autem tranſacta eſt in Crotone Italiæ.

ΝΟΜΕΙΣ,
ΒΑΤΤΟΣ καὶ ΚΟΡΥΔΩΝ.
Εἰδύλλιον δ'.

ΒΑΤΤΟΣ.

Εἰπέ μοι, ὦ Κορύδων, τίνος αἱ βόες; ἢ ῥα Φιλώνδα;

ΚΟΡΥΔΩΝ.

Οὐχ', ἀλλ' Αἰγωνος· βόσκειν δέ μοι αὐτὰς ἔδωκεν.

PASTORES, BATTUS & CORYDON.
IDYLLION IV.

BATTUS.

DIC mihi, ô Corydon, cujus ſunt hæ vaccæ? an Philondæ?

CORYDON.

Non, verum Ægonis: mihi vero ut paſcam eas mandavit.

ΗΠΑ. Ηκυ ὄντως αὐτὰς λάθρα κατὰ τὰ πρὸς ἑσπέραν ἀμέλγῃς; τῷ γὰρ ψὲ οἱ Δωριεῖς, ἀντὶ βοφε χρῶνται. εἰάθασι γὰρ οἱ νομεῖς μετὰ τὸ τὰς δεσπότας ἀμέλξαι τὸ γάλα, ὕστερον καὶ αὐτοὶ λάθρα ἀμέλγειν.

ΒΑΤΤΟΣ.

Η πά ϕε κρύβδειν τὰ ποθήτερα πᾶσας ἀμέλγες;

ΚΟΡΥΔΩΝ.

Αλλ' ὁ γέρων ὑφίπτι τὰ μοχλία, κοὐμὲ φυλάσσει.

ΒΑΤΤΟΣ.

Αὐτὸς δ' ἐς τίν' ἄφαντ' ὁ βαυήλ' ὤχετο χώρων;

ΚΟΡΥΔΩΝ.

Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Αλφεὸν ὤχετο Μίλων.

ΒΑΤΤΟΣ.

Καὶ πόκα τὼν' ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπᾳ;

ΚΟΡΥΔΩΝ.

Φαντί νιν Ηρακλῆϊ βίᾳ καὶ κάρτ' ἐρίσδειν.

BATTUS.

Num alicubi eas clam veſpere omnes mulges?

CORYDON.

Atqui ſenex ſubmittit vitulos, meque obſervat.

BATTUS.

Ipſe vero bubulcus abſens quo tandem abiit?

CORYDON.

An non audiſti? Milo ipſum ad Alpheum ſecum abduxit.

BATTUS.

Et quando ille unquam oleum oculis ſuis vidit?

CORYDON.

Aiunt eum vel cum Hercule viribus & robore certare poſſe.

4. ΑΛΛ. Οὐδαμῶς δηλονότι. ὅτι ὁ γέρων ὑποδύεται τὰ μοχλία. ὅτ' ἂν τάχα ἀν εἴη πατὴρ ϑ' Αἴγων'. πῶς ϕησὶ δύναμαι λάθρα ἀμέλγειν, ὅπου γε ὁ πατὴρ ϑ' Αἴγων' ὑποδύεται τὰ ἴδια;

5. ΑΥΤ. Ο ϑ βυκόλ', ϕησὶν, Αἴγων, εἰς ποίαν χώραν ὤχετο, ἀφανὴς γενόμεν' ἤδη.

6. ΑΛΦ. Αντὶ ϑ ἐπὶ τὴν Ολυμπίαν. παραβρεῖ γὰρ ἐκεῖσε ὁ Αλφεός. ἐκ ἀναγέγραπ) ϑ ὁ Αἴγων νικήσας Ολύμπια. ΜΙΛ. Τὸν Κροτωνιάτην Μίλωνα ϕησὶν, ὃν καὶ Αριστοτέλης πολυϕάγον ϕησί· λέγει ϑ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. κατεσϑέϑη ϑ ὅτ' ὑπὸ ϑηρίων ἢ κυνῶν. ἐλθὼν γὰρ εἰς ὄρ', καὶ εὑρών τινας δένδρον χίζοντας, σφῆνα ϑ βάλοντας ἐν μίσῳ ϑ ξύλου, ϑέλων αὐτὸς σχίσαι τὸν σφῆνα, ἐμπαρεὶς ἐκεῖ, καὶ ἅτως ἐπιλειϕθείς.

7. ΠΟΚ. Καὶ πότε ἐκεῖν' ἔλαιον ἐνάντιον τ' ὀφθαλμῶν αὐτῷ εἶδεν; ἀπὸ ϑ ἐλαίᾳ τ' ἀγῶνα ϑήλᾳ ϑηλῶν. ἢ ἔλαιον, ᾧ οἱ ἀγωνιζόμενοι ἀλείφονται. ἢ ἔλαιον τὸ ἀγριέλαιον, ὃ ἐστι κότινον, ᾧ οἱ νικήσαντες στεφανῦνται. Αλλως. καὶ πότε ἐκεῖν' ἐλαίῳ ἐχρίσατο, ᾧ κατὰ τὰ γυμνάσια ἀλείφονται. ἦκιστα γὰρ οἱ ἀγροῖκοι ἐλαίῳ χρῶνται. ἐχ ὡς τινες ἀναγινώσκουσιν ἐλαιὸν, ὡς ἀραιόν· ἵνα σημαίνῃ τὸ ἀγριέλαιον, ἐξ ὃ ὀλυμπιακὸς στέφανος σύκειϑ'· ἀγνοοῦσι ϑ ὅτι ὅτ' ἐκ τ' καλλιτῶς ἢ καλλιστέφανε ἐλάιας γινόμεν' ἐλαὶς ἐλθ), ἥτις ἀπέχει σταδίων ὀκτὼ, ὡς ϕησι Αριστοτέλης.

8. ΒΙΗ. Κατὰ τὴν βίαν καὶ τὸ κράτ',

ΒΑΤΤΟΣ.

Κἤμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος ἦμεν ἀμείνω.

ΚΟΡΥΔΩΝ.

Κἤχεθ' ἔχαν σκαπάναν τε κἠπὶ τετόνδε μᾶλα.[10]

ΒΑΤΤΟΣ.

Πείσαι τοι Μίλων κὠς λύκος αὐτίκα λυσσᾶν.

ΚΟΡΥΔΩΝ.

Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦντι.

ΒΑΤΤΟΣ.

Et me mater dixit Polluce præstantiorem esse.

CORYDON.

10 Et abiit hinc ligonem secum ferens, atque viginti oves.

ΒΑΤΤΟΣ.

Persuaserit credo Milo lupis, ut statim rabiosi fiant.

CORYDON.

Juvencæ vero ipsum hic mugientes desiderant.

κράτος, ἤγουν τὴν ἰσχύν, ὡς παραλήλως ἐρίσθην καὶ ἰσῶσαι. Ἄλλως. βίλω καὶ κάλλιον· ἵνα μὴ διστολογήσῃ, βίλω καὶ κράτος λέγων.

9. ΚΗΜ. Καὶ ἐμὲ ἔφη ἡ μήτηρ μου, ὅτι Πολυδεύκους εἶναι ἀμείνονα κατὰ τὴν ἰσχύν. Ἄλλως· τοῦτο ἀμφίσολον, ἢ τὴν Αἴγωνα ἔφη κρείττονα ὅτι Πολυδεύκους, ἢ ἐμέ. τὸ γὰρ, κἠμ' ἔφαθ', δύναται εἶναι, καὶ ἐμοὶ ἔφη.

10. ΣΚΑ. Σκαπάνη ἐστὶ δίκελλα, σκαφίον. τὸ κοινῶς λεγόμενον τζαπίον, ὃ οἱ Ἀττικοὶ ἄμιλλαν. χρῶνται δὲ αὐτῇ πάντες μὲν οἱ ἀθληταὶ, μάλιστα δὲ οἱ πύκται. Ἄλλως. Σκαπάναν, ἤγουν δίκελλαν, ἢ λισγάριον, ἢ σκαφίον, ὃ οἱ Ἀττικοὶ ἄμιλλαν λέγουσιν. οἱ γὰρ γυμναζαὶ τούτοις ἐχρῶντο ὑπὲρ γυμνασίας, τῇ σκαπάνῃ σκάπτοντες καὶ τὰ ἄνω μέρη ἀναῤῥωννύντες. ΜΑΛ. Μῆλα, τὰ πρόβατα, τὰ θρέμματα· ὡς δὲ τοῦτο, τὰ κρέατα τούτων φησὶν, ἵνα ἔχῃ κρεοφαγεῖν. ἢ μᾶλα ἐνταῦθα τὸ καρπὸν τῶν μήλων λέγει· καθὰ καὶ Μίλων, ὃν ἔχων ἠγωνίζετο. μῆλα δὲ τὰ θρέμματα λέγονται, καὶ τὰ τούτων κρέατα. οἱ γὰρ ἀρχαῖοι, βοείοις ἐχρῶντο κρέασιν. ὅτι δὲ μῆλα οὐ μόνον τὰ πρόβατα, ἀλλὰ καὶ πάντα τὰ θρέμματα, λέγει Ὅμηρος· Ἀνδράποδα δ' ἔπαυσεν ἐπὶ χθονὶ, μῆλα δὲ κήδει. τὸ δὲ τετόνδε ἀντὶ τοῦ ἐνταῦθα.

11. ΠΕΙ. Διεγείραι ἂν ὁ Μίλων καὶ τὸς λύκους τάχιστα μάνεσθαι. τὰ λυσσᾶν ἴδιον τῶν κυνῶν· ἀλλ' ἴσως λέγει, ὅτι πείσθεν ἂν καὶ τὸς λύκους τὸ παρὰ τὴν συνήθειαν ἰσχομεῖναι. ἢ ὅτι καὶ τὸς λύκους σαμήνῃ ἂν ὁ Μίλων, ὅπως καὶ τὸ Αἴγωνα τὸ ἀγροῖκον ἐπὶ τὸ ἀγῶνα ἀποδύσασθαι ἠνάγκασε.

12. ΔΑΜ. Αἱ δαμάλαι δὲ αὐτὸ ἐνταῦθα βοῶσαι ζητοῦσι. δαμάλαι, αἱ νέαι βόες, αἱ εἰς τὸ δαμασθῆναι ἐπιτήδειαι.

14. ΟΥΚ.

ΒΑΤΤΟΣ.

Δειλαῖαί γ' αὗται, τ̃ βωκόλον ὡς κακὸν εὗρον.

ΚΟΡΥΔΩΝ.

Ἢ μὰν δειλαῖάί γε, κ̀ οὐκέτι λῶντι νέμονται.

ΒΑΤΤΟΣ.

Τίνας μ̂ δή τοι τᾶς πόρτις. αὐτὰ λέλειπται
Τώτεα. μὴ ποῶκας σιτίζεται, ὥσπερ ὁ τέττιξ;

ΚΟΡΥΔΩΝ.

Οὐ δᾶν. ἄλλοκα μέν μιν ἐπ' Αἰσάροιο νομεύω,
Καὶ μαλακῶ χόρτοιο καλὰν κώμυνδα δίδωμι·
Ἄλλοκα δ' ἢ σκαίρ τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.

BATTUS.

Miſeræ illæ, paſtorem quam malum nactæ ſunt!

CORYDON.

Sane miſeræ, & non amplius volunt paſci.

BATTUS.

Huic quidem vitulæ ipſa tantum reliqua ſunt
Oſſa: numquid hæc tore victitat, ſicut cicada?

CORYDON.

Non per terram. nam aliquando ipſam ad Æſarum paſco:
Et mollis fœni pulchrum faſciculum præbeo:
Aliquando vero ſaltat circa umbroſum Latymnum.

14. ΟΥΚ. Οὐδαμῶς θέλουσι βόσκεσθαι, δηλονότι ζητοῦσαι τ̃ Αἶγανα.

15. ΠΟΡ. Πόρτιας τὰς ἀκμαζούσας βοῦς, ἐφ' ἃς οἷόν τε τοὺς ταύρους εἰσιέναι, ἤγουν πορεύεσθαι· ἢ τὰς ἐν τῷ πόρσω, τουτέστιν ἐν τῇ ὁδῷ ἰούσας.

16. ΠΟΩ. Τὴν ταγόνα τ̃ δρόσου πρῶκα λέγουσιν, ἀπὸ τ̃ πρωΐ πίμπτειν. κ̀ Καλλίμαχος. Ὡσκεν ὠκεῖναι πρῶκες ἔραζε πεσεῖσαι, πρωϊκιον τ̃ ὀκυάτου εἶδαρ ἔδων.

17. ΔΑΝ. Μὰ τὴν γῆν. ἄλλοτε μὲ αὐτὴν φησὶ τ̃ Αἴσαρον βόσκω. ΑΙΣ. Αἴσαρος, ποταμὸς ἀπὸ μέσης τ̃ πόλεως τ̃ Κροτωνιατῶν ῥέων εἰς τὴν θάλασσαν. ἔστι δὲ κ̀ ἄλλος ποταμὸς Σικελίας Αἴσαρος.

18. ΚΩΜ. Κώμυς, ἡ δέσμη, ἤτοι τὸ δεσμάτιον. Κρατῖνος. Ὁ δὲ μετ' εὐδήμου τείχων κώμυθος τὴν λοιπὴν ἔχει τῷ σεφάνῳ. ἢ κώμυς, δέσμη χόρτου ἱκανὴ εἰς τροφήν. κώμυς κώμυθος, ὡς κόρυς κόρυθος.

19. ΣΚΑ. Σκαίρῃ κυρίως, τὸ σκιρτᾷν, ἀφ' ὃ κ̀ σκάρος. νῦν δὲ τὸ νέμεσθαι. ἔνθα κ̀ σκαρθμὸς παρὰ Ἀράτῳ. ΛΑΤ. Ὄρος Κροτωνος. βαθύσκιον δὲ, τὸ ἄγαν σύνδενδρον. Ἄλλως. Σκαίρῃ σκιρτᾷ, ἀναῤῥίπτεται. ἀπὸ τ̃ ἀναστροφῆς δὲ τὴν νομὴν θέλει δηλοῦν. περὶ τὸ Λάτυμνον τὸ ὑπὸ συνεχῶν δένδρων συσκιαζόμενον. τοῦτο γὰρ τὸ βαθύσκιον. τὸ δὲ Λάτυμνον, τινὲς ὄρος τ̃ Λακωνικῆς φασί.

* Ven. ἐκδικίως.

20. ΠΥΡ.

ΒΑΤΤΟΣ.

Λεπτὰς μὰν χὠ ταῦρος ὁ πυῤῥίχος· εἴθε λαχοίεν
Τοὶ τῶ Λαμπετιάδα τοὶ δαμόται, ὄφρα θύοντι
Τᾷ Ἥρᾳ, τοιόνδε. κακοχρέσμων γὰρ ὁ δᾶμος.

ΚΟΡΥΔΩΝ.

Καὶ μὰν ἐς ϛομαλίμνιον ἐλαύνει, ἔς τε τὰ Φύσκια,
Καὶ ποτὶ τὰ Νήαιθον· ὅπα καλὰ πάντα φύοντι,

BATTUS.

Macilentus quidem & iſte rufus taurus eſt. utinam fortiantur Lampriadæ populares, quando ſacrificant
Junoni, talem: improbus enim eſt populus.

CORYDON.

Et is quidem ad paludis oſtium agitur, inque loca circa Phyſcum,
Et ad Neæthum, ubi omnia præclara naſcuntur,

20. ΠΥΡ. Ἀπὸ τᾶ πυρὸς, πύῤῥιχος κατὰ παραγωγήν. τινὲς παροξύτονα λέγουσι πυῤῥίχος. ἔστιν ὂν ὑποκοριστικὸν αἰολικῶς. τὸ γὰρ καθ' ἡμᾶς πύῤῥιχος, ὀσκάριος. τινὲς δὲ τὸ πύῤῥιχον, ἐπῤῥωτικὸν ὄνειδος ἀπὸ Πύῤῥα τᾶ ἐκεῖ βασιλέυσαντος. δεκάδι δὲ οἱ βόες ἐκεῖνοι, λέγεται εἶναι τὰ Γηρυονέιων. ἦν δὲ κὴ Πύῤῥος ποιητὴς Ερυθραῖος, ὡς φησι Λυγγεύς. ἢ πύῤῥιχος κατά τινας, ὁ ἐυκίνητος· ἀπὸ τᾶ πυρὸς ἐυκινήτου ὄντος, ἢ τὸ πυῤῥὸν, κατὰ τὴν χροιάν.

21. ΛΑΜ. Ο τῶν Λαμπριαδᾶν δᾶμος, ἀπό τινος Λαμπρίου. ὡς δυσμενῶς ἔχων ὁ Βάττος πρὸς τοὺς Φυλάτας τᾶ Λαμπριάδα φησίν, εἴθε ὅταν θύωσι τᾷ Ηρᾳ κὴ κρέα νέμωνται οἱ δημόται τᾶ Λαμπριάδα, τοιοῦτον λαχόντες θύσαιεν, ἵνα μὴ προσδεχθῇ αὐτῶν ἡ θυσία ὑπὸ τᾶ θεᾶ δηλονότι, κὴ ζημιωθῇ ὁ δῆμος.

22. ΔΑΜ. Η ὁ ταῦρος ὁ τᾶ Λαμπριάδα δηλονότι· ὡς κακᾶ ὄντος τούτου τᾶ δήμου. ἢ ὁ Λάμπριος ἐξ ὃν ὠνομάσθη ὁ δῆμος. Αλλως. Καλοχράσμων γὰρ ὁ ταῦρος] ἢ ὁ δῆμος. ἀντὶ τᾶ κακὸς εἰς τὸ χρῆσθαι αὐτὸν τινά. ἦν γὰρ τάχα κρέατος. ἢ ἀφ' τὸ εἶναι αὐτὸν λεπτὸν, δηλονότι τὰ ταῦρον· ἢ λιποσάρκου κὴ ὁ ταῦρος ὁ πυῤῥός· εἴθε τοιόνδε λάχοιεν οἱ δημόται τᾶ Λαμπριάδα. ἤγουν, οἱ τᾶ Λαμπριάδα κατάγομενοι, ὅτε θύουσι τᾷ Ηρᾳ· ἵνα δηλονότι μὴ προσδεχθῇ αὐτῶν ἡ θυσία ὑπὸ τᾶ φυλετᾶν, κὴ ζημιωθῶσιν.

23. ΣΤΟ. Τὰς εἰς θάλασσαν ἐσομενομένας λίμνας ἔτω φασί. τοῦτο ᾗ ἦν σόμα λίμνης ἀπὸ τὴν Κρότωνα. κὴ τὸ ἐν Τροίᾳ ᾗ σόμα λίμνης, πιθανὰς ᾗ τοῦτο ὠνόμασαι. ΦΥΣ. Μέρη δηλονότι. ὄνομα ᾗ ὄρους ὁ Φύσκος. τοῦτο ᾗ λέγει, ὡς τᾶ Φύσκα ὄρους νομὰς ἐπιτηδείας τοῖς βυσὶν ἔχοντος.

24. ΝΗΑ. Νήαιθος ποταμὸς Κρότωνος. ὠνόμασαι ᾗ, παρόσον ἐν αὐτῷ νῆας ποτὲ συνέβη καταπαῆναι Ελληνικάς.

25. ΑΙΓ.

Αἰγίπυρος, καὶ κνύζα, καὶ εὐώδης μελίτεια. 25

ΒΑΤΤΟΣ.

Φεῦ, φεῦ. βασεῦνται καὶ ταὶ βόες, ὦ πάλαι Αἴγων,
Εἰς ἀΐδαν, ὅκα καὶ τὺ κακᾶς ἁφάσαο νίκας.
Χὰ σύριγξ εὐρῶτι παλαίεται, ἄν ποτ' ἐπάιξω.

ΚΟΡΥΔΩΝ.

Οὐ τλύαν', ἃ νύμφας· ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων,
Δῶρόν ἐμὶν νιν ἔλειπεν. ἐγὼ δέ τις εἰμὶ μελικτάς,

25 Ægipyrus, & cnyza, & odorifera melitea.

BATTUS.

Heu, heu, ibunt & boves, ô miſer Ægon,
Ad Orcum, interea dum tu appetis infelicem victoriam.
Et fiſtula ſitu fœdatur, quam olim compegiſti.

CORYDON.

Non illa, non per Nymphas: nam cum ad Piſam proficiſceretur,
Dono mihi eam reliquit: nam & ego quidam cantor ſum,

25 ΑΙΓ. Ἐστιν ἀκανθῶδες φυτὸν, ἢ εἶδος βατάνης. τὸ δὲ φύλλον ἔχει πλατὺ ὥσπερ φακός. ἔστι δὲ γλαυκίζουσα, εἰς ἕλικη φλεγμαίνοντα ἀγαθή. ΚΝΙ. Κνίζα φυτὸν χορτῶδες, ὃ αἱ θεσμοφοριάζουσαι ἀφ' ἑστίας ἐβάδοποιοῦν. δοκεῖ γὰρ ἡ βοτάνη ψυχρὰ ὖσα ἐπέχειν τὰς πρὸς συνουσίαν ὁρέξεις. νόμος γὰρ ἦν Ἀθηναίοις κατ' ἔτος τελεῖν τὰ θεσμοφόρια ταῦτα, παρθένοις γυναῖκας, καὶ τὸν βίον σεμναὶ· καὶ κατὰ τὴν ἡμέραν τὰ τελετῆς, τὰς νομίμους βίβλους καὶ ἱερὰς ὑπὲρ τῆς κορυφῶν αὐτῶν ἀνετίθεσαν, καὶ ὡσανεὶ λιταπούσαι ἐπῆρχοντο εἰς Ἐλευσῖνα. ἡ δὲ Ἐλευσὶς ἐστὶ λιμὴν τῆς Ἀττικῆς. ΜΕΛ. Εἶδος καὶ αὕτη βοτάνης, τὸ κοινῶς λιγόριζον μιλιοσσέλινον. τὸ δὲ φύλλον ἔχει πλατύ.

26. ΦΕΥ. Προείρηται ὅτι κωμικὴ ἡ διασκευή. ὑκῶν ἀληθῶς εἴρηται, καὶ κωμικοῖς ἁρμόζουσα, καὶ τραγικοῖς.

28. ΕΥΡ. Εὐρὼς κυρίως ἡ πρασινώδης ὁμίχλη· παλύνεται δὲ, λεπύνεται ὑπὸ εὐρῶτος. πάλυνε γὰρ ἔλεγον, τὸ λεπτότατον δὲ ἄλευρον, παρὸ καὶ φάλιον λέγεται τὸ λευκόν. Ἡδὺ ἂν φάλιον ἄλευρα σὺν τῷ ἐσθιέσθαι. Ἐπάιξα.] Τὸ δίυτιρον πρόσωπον δὲ πρώτου μίσου ἀορίστου, οἱ Συρακόσιοι ἀφὲ δὲ α προφέρουσι. ἐνόησα, ἐνόησα, ἐγράψω, ἐγράψα. ὅτω καὶ τὸ ἐπάιξα, ἀντὶ δὲ ἐπαίξω. ὁ νῦς φεῦ, ὦ Αἴγων, πορεύσονται καὶ αἱ βόες εἰς ὄλεθρον, ἐπεὶ ἐπεθύμησας νίκης εἰς κακὸν ἀποβαινούσης· καὶ ἡ σύριγξ ἣν ποτε ἐπαίξω καὶ κατισκεύασας, καλάμοις δηλονότι, ὑπὸ εὐρῶτος παλύνεται, ἤγουν λεπύνεται καὶ φθείρεται.

29. ΤΗΝ. Ἐκείνη, φησὶν, ἡ σύριγξ οὐκ ἐφθάρη, οὐδὲ μιροβόλυνται μὰ τὰς νύμφας· ἐπεὶ ὁ Αἴγων ἀπῆν εἰς τὴν Ὀλυμπιάδα, ἐμοὶ δῶρον αὐτὴν κατέλιπεν. ἐγὼ γὰρ δυνατός εἰμι μελῳδεῖν.

Κἦν μὲ τὰ Γλαύκας ἀγκρέομαι, εὖ δ' ἐπὶ Πύῤῥᾳ·
Αἰνέω τάν τε Κρότωνα· καλὰ πόλις ἁ Ζάκυνθος·
Καὶ τὸ ποταῶον τὸ Λακίνιον, ἆπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μᾶσδας.

Et pulchre accino carmina Glaucæ, pulchre etiam Pyrrhi.
Laudo & Crotonem: pulchra urbs est Zacynthus.
Et orientale promontorium Lacinium, ubi pugil
Ægon octoginta solus voravit placentas.

λωδεῖν. ΠΙΣ. Η νῦν Ολυμπιάς· ἢ ἀπὸ Πίσσ τ Αφαρέως, ἢ ἀπὸ Πίσσης τ Ενδυμίωνος θυγατρός. ἔνθα καὶ Πισαίᾳ Διὸς ἱερὸν ἦν. μελικτὰς δ', ὁ μέλη εἰδὼς ἐργάζεσθαι, τραγῳδητής. μελίζω γὰρ τὸ τραγῳδῶ.

31. ΓΛΑ. Η Γλαύκα, Χία τὸ γένος, κρεμαλοποιὸς, γέγονε ἐπὶ Πτολεμαίᾳ τ Φιλαδέλφῳ· ἣν φησιν ὁ Θεόφρας ἐραθῆναι κριὸς· ὁ δὲ Πύῤῥος Ερυθραῖος, ἢ Λέσβιος, μελῶν ποιητής.

32. ΚΡΟ. Αλκιμος, καὶ Κρότων Αἰακῆ υἱοί. καὶ ὁ μὲν ἐβασίλευσε τῆς Κερκυραίων, ὁ δὲ ἐν Σικελίᾳ ἔκτισε Κρότωνα.

33. ΠΟΤ. Τὸ πρὸς ἀνατολὰς τ Κροτωνιάτου. τὸ δὲ Λακίνιον, ἀκρωρειά τίς ἐστιν, ἔχουσα ἱερὸν Ηρας. Αλλως. τὸ Λακίνιον, ἀκρωτήριόν ἐστι τῆς Λακίνης Κερκυραίᾳ τ ὑποδεξαμένης Κρότωνα φεύγοντα. Αλλως, τὸ πᾶν. καὶ εὖ μὲν τὰ τ Γλαύκης ἀνακρέομαι, εὖ δὲ τὰ τ Πύῤῥου. ἐπὶ τῶν κρεῶν ὀργάνων λέγεται τὸ ἀνακρέω. συνταῦθα δὲ ἀνακρέομαι, ἀντὶ τ μέλπω ἁπλῶς. Κρότων καὶ Ζάκυνθος, ἡ αὐτή. τὸ δὲ ἑξῆς ἔτως· ἐπαινῶ τήν τε Κρότωνα, καὶ τὸ ποταῶον τὸ Λακίνιον. τὸ δὲ καλὴ πόλις ἡ Ζάκυνθος. λέγα μέσον λέγεται ἐπὶ ἐπικρίσεως. τὸ ποταῶον, ποιητικῶς ἔτω λέγεται. δεῖ γὰρ ἢ τὸ πρὸς ἕω λέγεσθαι· ἢ τὸ πρὸς ἀνατολὰς τετραμμένον· ἢ τὸ ἑῶον χωρὶς τ προθέσεως. τὸ δὲ Λακίνιον, ἀκρωτηριόν ἐστιν, ἀπό τινος Λακίνου ὠνομασμένου. διέφερε δὲ ἡ Κρότων τῶν ἐπὶ Ιταλίᾳ πόλεων ἐπ' ἀνδρίᾳ καὶ τῇ λοιπῇ εὐδαιμονίᾳ. ὅθεν καὶ εἰς παροιμίαν ἐλθεῖν, Μάταια τ' ἄλλα πάντα Κρότωνα τάττεται.

34. ΑΙΓ. Ταῦτα οὐκ ἐπὶ Αἴγωνι ἱσόρηται, ἀλλ' ἐπὶ Ασυάνακτι τῷ Μιλησίῳ. ὁ δὲ Θεόκριτος τὰ περὶ τ Μιλησίου Ασυάνακτος ἱστορήμενα, εἰς Αἴγωνα μετήνεγκε. φασὶ γὰρ τοῦτον Ισθμια νικήσαντα, καὶ οἷοι παραγενόμενον, ἐκ τῆς ἰδίας ἀγέλης τ μεγίστου λαβόντα βοὸς, καὶ μὴ ἀνεῖναι, ἕως ὁ ταῦρος ἐλουθερῶν τὸ σῶμα, τῇ βίᾳ κατέλιπε τὴν ὁπλὴν σὺν τῇ χηρὶ αὐτοῦ. ὁπλὴν δὲ λέγει, τὴν χηλήν. καὶ Ησίοδος· Μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν μήτ' ἀπολείπων. Τὸ δὲ κατεδαίσατο, ἀντὶ τ κατέφαγε. ὡς ἔοικε, λέγα τὴν ἀδηφαγίαν ὁ Μίλων τὸν Αἴγωνα ἐπὶ ἄθλησιν προτετράφθαι. μᾶζα δὲ τὸ νεομάλακτον, καὶ νεοφύρατον ψώμιον.

35. ΤΗΝ.

Τῶνεὶ κὴ τὰν ταῦρον ἀπ' ὤρεΘ. ἄγε πάξας
Τὰς ὄπλας, κήδωκ' Ἀμαρυλλίδι· ταὶ δὲ γυναῖκες
Μακρὰν ἀνάϋσαν, χὠ βωκόλΘ. ἐξεγέλασεν.

ΒΑΤΤΟΣ.

Ω χαρίεσ' Ἀμαρυλλί, μύνας σέθεν ὧδε θανοίσας
Λασεύμεθ'. ὅσον αἶγες ἐμὶν φίλαι, ὅσον ἀπέσβας.
Αἰ αἰ τῷ σκληρῷ μάλα δαίμονΘ, ὅς μ' ἐλελόγχει.

ΚΟΡΥΔΩΝ.

Θαρσεῖν χρὴ, φίλε Βάττε· τάχ' αὔριον ἦσετ' ἄμεινον.
Ελπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δ' οἱ θανόντες.

35 Illic & taurum à monte duxit prehenſum
Ungula, & Amaryllidi donavit: mulieres vero
Procul acclamaverunt; paſtor autem riſit.

BATTUS.

O dulcis Amarylli, tui ne mortuæ quidem
Oblivíſcemur; quam mihi capræ caræ, tam tu cara interiiſti.
40 Heu, heu, durum valde fatum, quod mihi ſortito obvenit.

CORYDON.

Fidere decet, care Batte: forſan cras melius erit.
Spes ſunt inter vivos, expertes autem ſpei ſunt mortui.

35. ΤΗΝ. Ἐκεῖ φησὶν ὁ Αἴγων ἐπὶ Ϝ Λακινίᾳ, κὴ τ' ταῦρον ἔδωκε τῇ Ἀμαρυλλίδι, ἐνεγκὼν ἀπό τινος ὄρους, κὴ παρασπάσας τ' ὁπλὰς κὴ αἱ παρῦσαι γυναῖκες μιγάλως ἐβόησαν, κὴ ὁ βυκόλος ἐγέλασεν.

38. ΑΜΑ. Ἐπεὶ ὁ Κορύδων ἐμνήσθη τ' Ἀμαρυλλίδος, ἀνεμνήσθη κὴ ὁ Βάττος αὐτᾶς· ἦν γὰ ἐρωμένη αὐτῳ, πρὸ Ϝ θανεῖν. ΜΟΝ. Ελληνικῶς. ἔδη εἶπεν, ὅτι ἐπί σοὶ ἀπεθανεῖτο, διετέλεσα ἂν ἐν λύπῃ εἶναι, ἢ εἰ παντός μυ Ϝ ποιμνίυ ἀπωλωλότος.

39. ΟΣΟΝ. Ενταῦθα σαφῶς αἰτόλος ἦν ὁ Βάττος, ἐν εἰκὸς ἦν ἐρᾶν τ' Ἀμαρυλλίδος, κὴ ὑ Θεόκριτον. φησὶ δὲ ὑπερβολικῶς ὅσον αἱ αἶγες φίλαι μοι, τοσοῦτον ἡμᾶς ἐλύπησας ὦ Ἀμαρυλλὶ τελευτήσασα, ἢ τοσοῦτον ἡμῶν ὅσα προσφιλὴς ἀπέσβας, ἦγεν, ἀπέθανες. οὕτως ἂν νοηθείη κὴ ὁ κωμάζων πρὸς αὐτήν· ὅτι φησὶν ὁ Θεόκριτος, Κωμάσδω ποτὶ τὰν Αμαρυλλίδα. Αλλως. Οσσον ἀπέσβας] τὸ ὅσσον, ἀντὶ Ϝ τόσσον, ἦγεν, τοσοῦτον. τὸ δὲ πᾶν οὕτως. ὅσον αἱ αἶγες ἐμοὶ προσφιλεῖς, τοσοῦτον σὺ, φίλη οὖσα δηλονότι, ἀπέσβας· ἦγεν, ἐξέλιπες, ἀπέθανες.

41. ΘΑΡ. Τοῦτο ὁ Κορύδων φησὶ παραμυθούμενος τὸν Βάττον, ἵνα μὴ ἀθυμῇ ἐπὶ τῇ τελευτῇ τῆς Αμαρυλλίδος.

42. ΑΝΕ. Ανέλπιστον, ὃ ὐκ ἐλπίζῃ τις λαβεῖν, ἢ κατορθῶσαι, ἢ τοιοῦτό τι. ἀνέλπιστον, κὴ τὸ ἐλπίδος ἐστερημένον· καθὸ λέγει) ἐνταῦθα τὸ ἀνέλπιστοι.

Χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.

ΒΑΤΤΟΣ.

Θαρσέω· βάλλε κατωνθε τὰ μοσχία. ταὶς γὰρ ἐλαίαις
Τὸν θαλλὸν τρώγοντι τὰ δύσολα. σίτα δ' ὁ λέπαργος.

ΚΟΡΥΔΩΝ.

Σίτα δ' ἃ Κυμαίθα ποτὶ τὸν λόφον· οὐκ ἐσακούεις;
Ἤξω ναὶ τὰ Πᾶνα, κακὸν τέλος· αὐτίκα δωσῶν,
Εἰ μὴ ἄπει τυτῶθεν. ἰὰ ἄυ πάλιν ἅδε ποθέρπει.
Εἴθ' ἦν μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ παταίξω.

ΒΑΤΤΟΣ.

Θᾶσαί μ' ὦ Κορύδων ποτὶ τῶ Διός. ἃ γὰρ ἄκανθα

Et Jupiter interdum ſerenus eſt,
interdum vero pluit.

BATTUS.

Animum recipio: pelle deorſum vitulos: nam oleæ
Ramos rodunt infelices. Heus, abi hinc tu albe.

CORYDON.

Heus, abi Cymætha ad tumulum: an non audis?
Veniam, per Pana, malam rem tibi daturus,
Niſi abis iſthinc. ecce iterum huc accedit,
Utinam mihi eſſet curvum pedum, ut te verberarem!

BATTUS.

Aſpice me, ô Corydon, per Jovem: nam ſpina

43. ΖΕΥΣ. Τὸν Δία λέγει τὸν αἴτιον τῶν ὑετῶν, ἀντὶ τοῦ ἀέρος, ἐν ᾧ συνάγονται αἱ νεφέλαι.

45. ΘΑΛ. Θαλλὸς ἁπλῶς λέγεται, πᾶν τὸ τεθηλός. κυρίως δὲ ὁ τῆ ἐλαίας βλαστός. ΔΥΣ. Τὰ δυσθήνακτα· ἀπὸ τοῦ δυσκόλως στύεσθαι καὶ ὁρμᾶν, ἀφὸ τὸ εἶναι πλαχά. ΣΙΤ. Ἐπίφθεγμα βυκολικόν, ὅπερ λέγουσιν οἱ βυκόλοι· ὁμοίως καὶ τὸ ψίτ[τ]α. λέπαργος δὲ ὁ λευκὸς, ἢ ὁ λευκοποίκιλος, ἢ ὁ λευκόπλευρος· ἀλλ' ὁ μὲν ἀπὸ τοῦ λίπας ἔχειν καὶ τοῦ ἀργὸν, ὁ ἐστι λευκὸν ἔχειν τὸ δέρμα. ὁ δὲ ἀπὸ τοῦ λευκὸν εἶναι κατὰ τὴν λαπάραν· ἢ λέπαργος, ὁ λευκὸς, παρὰ τὸ ἔχειν λίπας ἀργὸν, ἤγουν δέρμα λευκὸν, ἢ λευκὸν κατὰ τὴν λαπάραν.

46. ΚΥΜ. Ὄνομα βοὸς, καὶ αἰγὸς, παρὰ τὴν κώμυθα· ἢ παρὰ τὸ αἴθη, καὶ τὸ κόμη, ἡ τὰς κόμας αἰθὰς ἔχουσα, τετίσι, ξανθάς· ἢ ἐγκύμων.

48. ΙΔ. Ἰδὲ πάλιν πρόσεισι τοῖς φυτοῖς.

49. ΡΟΙ. Ἀρχίλοχος· Ἀλλά μοι ῥοικός τις εἴη κατὰ κῆμα λίθειν. Λαγωβόλον δ', ξύλον, ᾧ διαφεύγοντες οἱ λαγωοὶ βάλλουσι. ἢ ὅτι ῥάβδον ἔσαν ὀρθὴν, ἐπεύχεται γενέσθαι καμπύλλιν, ἵνα μὴ ἔγκυρον ἔσαν βλάπτῃ τὴν βᾶν.

50. ΘΑΣ. Ἀποστροφὴ τὸ σχῆμα. κατὰ γὰρ τὸ σιωπώμενον ἀπερχόμενος, ὁ Βάττος ἀπελάσαι τὴν θάμναλιν, ὑπὸ

Αρμῷ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν· ὡς ἦ βαθεῖαι
Ταὶ ἀτρακτυλίδες ἐντί· κακῶς ἁ πόρτις ὄλοιτο·
Εἰς παύταν ἐτύπαν χασμωμένῳ. ἦ ῥά γε λόϊσαι;

ΚΟΡΥΔΩΝ.

Ναὶ ναί, τοῖς ἐνύχεσιν ἔχω γέ νιν. ἅδε κἠ ὠτά.

ΒΑΤΤΟΣ.

Ὀσίχον ὀξὺ τὸ τύμμα, κἠ ἀλίκην ἄνδρα δαμάσδαι.

ΚΟΡΥΔΩΝ.

Εἰς ὄρος ὄκκ' ἔρπεις, μὴ ἀνάλιτῳ. ἔρχεο, Βάττε·
Ἐν γὰ ὄρεϊ ῥάμνοι τε κἠ ἀσπάλαθοι κομόωντι.

Modo hic me ſauciavit ſub malleolo: quam vero altæ
Atractylides ſunt! male pereat vitula.
In hanc enim inhians ſauciatus ſum: nunquid cernis?

CORYDON.

Certe certe, & unguibus eam teneo: atque hæc ipſa eſt.

BATTUS.

Quam exigua plaga eſt: & quantum virum ſuperat!

CORYDON.

In monte cum ambulas, ne diſcalceatus eas, Batte:
In montibus enim rubi & tribuli virent.

ὑπὸ ἀκάνθης ἐτύπη, κἠ δεῖται ὁ Κορύδωνος ἐξελεῖν αὐτήν· διὸ κἠ πρὸς αὐτὸν ἀπίσρεψε τὸν λόγον, καί φησι· θέασαί με πρὸς τὸν Διός· ἄρτι γάρ με ἄκανθα ἐπάταξε παρὰ τὸ σφυρόν.

51. ΑΡΜ. Εἰ μὲν ψιλῶται, τὸ ἀρτίως κἠ νεωστὶ σημαίνει· εἰ δὲ δασύνεται, τὸ ἁρμοσμένως. τὸ δὲ βαθεῖαι, ἀντὶ τοῦ ὑπερμεγέθεις, κἠ μετέωροι.

52. ΑΤΡ. Ατρακτυλὶς, εἶδος βοτάνης, ἡ ἀκάνθης· εἴρηται δὲ ἀπὸ τοῦ τὰς ἀγροίκων γυναῖκας, ἀτράκτους ποιεῖν ἐξ αὐτῶν. ἔνιοι δὲ ἀτρακτυλίδας, τὰ ἀγριολάχανα φασίν.

54. ΕΧΩ. Κρατῶ αὐτὴν, τὴν ἄκανθαν δηλονότι. τὸ δὲ ἅδε, ταυτὸ δύναται τὸ ἴδε. ὁ κἠ Θεόκριτος, ὥσπερ κἠ παρ' Ομήρῳ· Τῶν, ἀμόθεν

γε θεὰ θύγατερ Διὸς εἰπὲ κἠ ἡμῖν. σκόλοπα γὰρ τὴν ἄκανθαν, δείκνυσι τῷ Βάττῳ, κάι φησιν, ἅδε κἠ αὐτή.

55. ΟΣΣ. Βαῖαι, ὅσον ἐστὶ τὸ τὴν πληγὴν ποιῆν δηκτικῶς ἐμφαίνει τό τε μέγεθος τοῦ ἄνδρος, κἠ τὴν σμικρότητα τοῦ ἀκάνθης. τὸ ἡλίκον πρὸς τὸν ἄνδρα, ἵν' ᾖ μικρὸν ὂν τὸ τύμμα, ἡλίκον ἄνδρα, τοσοῦτοι μέγαν ἢ ἀνδρεῖον δαμάζει. ἢ τὸ ἡλίκον ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ ὁποίως δαμάζει τὸν ἄνδρα.

56. ΑΝΑ. Ηγεν ἀνυπόδητος, ἐξ οὗ κἠ πέδιλον, τὸ ὑπόδημα, ἤλιψε γὰρ τὸ ὑπόδημα, παρὰ τὸ ἐλίσσειν τοὺς πόδας. ἀνήλιπτος ὁ οἱονεὶ, ὁ μὴ ἐλίσσων τοὺς πόδας.

57. ΚΟΜ. Κομόωντι ἀντὶ τοῦ κομῶσιν, ἀκάνθας ἔχουσι. κόμαι γὰρ ῥάμνων κἠ ἀσπαλάθων αἱ ἄκαν-

ΒΑΤΤΟΣ.

Εἰπ᾽ ἄγε μοι Κορύδων, τὸ γερόντιον ἢ ῥ᾽ ἔτι μίλλῳ
Τιμάνα τὰν κυανόφρυν ἐρωτίδα, τᾶς ποθ᾽ ἑκίλθη;

ΚΟΡΥΔΩΝ.

Ἀκμάν γ᾽ ὦ δειλαῖε. παρών γε μὲ αὐτὸς ἐπενθών,
Καὶ ποτὶ τὰν μάνδραν καταλάμβανον, ἄμμι ἐναργᾷ.

BATTUS.

Dic age mihi Corydon, ſenecio ille num adhuc molit
Illud nigro ſupercilio ſcortillum quod olim deperibat?

CORYDON.

Admodum quidem, ô miſer, nuper ipſe interveniens
Juxta ſpeluncam deprendi in ipſo opere.

θαι. ἀσπάλαθος ἢ εἶδος ἀκάνθης, ἢ πληγέντες οἱ ἔλαφοι, ἀποθήσκουσιν. ἀσπάλαθος εἴρηται, ἀφ᾽ τὸ μὴ ῥαδίως ὑπὸ τῶν πληγέντων ἀποσπᾶσθαι, ἤτοι ἀφαιρεῖσθαι.

58. ΕΙΠ. Ἄγε εἰπέ μοι, ὦ Κορύδων, τὸ γεράντιον (τὸ πατέρα λέγει ὁ Αἴγων) ἆρα ἔτι ἐλαύνῃ, ἦγεν φιλεῖ σκεύῳ τὴν ἐρωμένην αὐτῷ τὴν μελαίνας ὀφρῦς ἔχουσαν, ἧς ἕνεκά ποτε ἐρωτικὸν πάθος ἐδέξατο; μύλῃ ἢ, ἐλαύνῃ, ἀθεῖ, περαίνῃ, ἀπὸ τῶν ἀλήτων, καὶ τῇ κώπῃ τὰς μύλας ὠθούντων.

19. ΤΥΦ. Τυφλὸν τ Πλοῦτόν φησιν, ἐπεὶ οἱ πλουτοῦντες πηρῶνται τὴν ὄψιαν. Δήμητρος δέ φασιν αὐτὸν εἶναι υἱὸν κὴ Ιασίωνος, ἐπεὶ τῇ τ καρπῶν ᾠδυσίᾳ, ἢ ἐυφορίᾳ, ἡμῶν ἴαται τὴν ἔνδειαν. ὑπὸ Διὸς δὲ αὐτὸν πηρωθῆναί φασιν, ἵνα μὴ βλέπων, ἐπὶ τὺς δικαίυς μόνυς ἔρχηται. οἱ δὲ τυφλὸν αὐτόν φασι, ἀφ' τὸ ἄκριτον. Ἄλλως. Ὁ ἀφρόντισος, ὡς πολυωρίμνος. τὸ γ ὢ φρόντισος ἀντὶ δ ὁ ἀφρόντισος. τὸ α συναῦθα ἐπίτασιν σημαίνει. τοιοῦτόν ἐσι τὸ πάθος τῶν ἐρώντων· οἱ γ ἐρῶντις, σκτήκονται ταῖς φροντίσι. Σημειωσαι ὅτι δύο οἱ παλαιοὶ τυφλά φασι, τ ἔρωτα, ἐ τ πλοῦτον. ὁ γ ἐρῶν, ἔσιν ὅτε ἐρᾷ γυναικὸς δυσειδοῦς, ἢ τις δοκεῖ αὐτῷ καλλίσῃ εἶναι. ὅπερ ἐσὶ τυφλότης, ὥσε ὁ ἔρως τυφλὸς ἤγουν, τυφλοποιός. ποιεῖ γ τὺς ἐρῶντας τὰ μὴ καλὰ, καλὰ ἡγεῖσθ. ὡσαύτως ἐ ὁ πλοῦτος τυφλός. παρέρχεται γ τὺς καλὺς ἐ κοσμίυς, κὴ δίδωσιν ἑαυτὸν τοῖς κακίσοις ἐ βδελυροῖς.

20. ΜΗΔ. Ὅρα ἵνα μηδὲν ἀλαζωνικὸν εἴπεις.

21. ΜΥΘ. Οὐκ ἀλαζονεύομαι· σὺ δὲ μόνον θέριζε τὸ λήϊον· ἐ ἕνεκα τῆς κόρης, μελῴδει, τραγῴδει, ὕτω γ ποιῶν, ἡδιον ἐργάσῃ· ὅτι μυσικός ποτε ὑπῆρχες.

24. ΜΩΣ.

Εργαξῇ· ϗ μὰν πρότερόν ποκα μυσικὸς ἦδα.

ΒΑΤΤΟΣ.

Μῶσαι Πιερίδες σωναείσατε τὰν ῥαδινάν μοι
Παῖδ'. ὧν γὰ χ' ἅψηδε θεαί, καλὰ πάντα ποιῆτε.
Βομβύκα χαρίεσσα, Σύραν καλέοντι τὺ πάντες,
Ἰχνάν, ἁλιόκαυσον· ἐγὼ δ' μόνος. μελίχλωρον.
Καὶ τὸ ἴον μέλαν ἐστὶ, ϗ ἁ γραπτὰ ὑάκινθος·
Αλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρῶτα λέγονται.

Opus facies. Etenim prius aliquando muſicus fuiſti.

BATTUS.

Muſæ Pierides, una mecum canite gracilem
Puellam: nam quæ vos deæ attingitis, omnia pulchra efficitis.
O Bombyce venuſta, omnes te Syram vocant,
Tenuem, ſole aduſtam: ego vero ſolus dico te flavam eſſe ſicut mel.
Et viola nigra eſt, & notis inſcriptus hyacinthus,
Nihilominus tamen in ſertis præcipue nominantur.

24. ΜΩΣ. Ω Μῶσαι Πιερίδες. ἤγουν, αἱ ἐν τῇ Πιερίᾳ ὖσαι· συνυμνήσατε σὺν ἐμοὶ τὴν λεπτὴν παῖδα· ὧν τινων γὰρ πραγμάτων ἅψεσθε θεαὶ, πάντα καλὰ ποιεῖτε.

26. ΣΥΡ. Συριάναν σε ὀνομάζουσι πάντες, λεπτὴν ϗ μέλαιναν ὑπὸ δ' ἡλίου. ἀλιόκαυσον, τὸ ὑπὸ ἡλίου κεκαυμμένον. μελίχλωρον δ', ἤγουν ἐοικυῖαν κατὰ τὸ χρῶμα μέλιτι, τουτέστι σιτόχρων· τοιοῦτον γάρ ἐστι ϗ τὸ χρῶμα δ' σίτου, ὡς ϗ δ' μέλιτος. ἢ οἱ μὲν ἄλλοι Σύραν σε καλοῦσιν, ἐγὼ δ' μελίχλωρον, οἷον, μελανοχρῶτα ἠρέμα, ϗ ὑ λίαν μέλαιναν.

28. ΥΑΚ. Τὴν ὑάκινθόν φασιν, ἀπὸ δ' αἵματος δ' Αἴαντος ἀναδοθῆναι, δ' ἐν Τροίᾳ μανέντος, ἀφ' οὗ τοι τοῦτο ἔχει ἐγγεγραμμένον, αἰ, αἰ, τὴν ἀρχὴν δ' ὀνόματος δ' Αἴαντος. ἀφ' τοῦτο δὲ ϗ γραπτὴν νῦν αὐτὴν εἶπεν. ἢ γραπτὴ ὑάκινθος, ἡ ἔχουσα ἐν ἑαυτῇ γεγραμμένα γράμματα θρηνώδη, δηλονότι τὸ, αἰ, αἰ, εἶναι ὃ σύμβολον τ' ἐπὶ τῷ Αἴαντι μυθολογουμένων. φῦναι γὰρ ἐκ δ' αἵματος αὐτοῦ φασι τὴν ὑάκινθον, ὅτε ἐμάνη ἐπὶ Τροίαν, ἀφειπισὼν τῷ ξίφει. ὅθεν ϗ τὸ πάθος δ' Αἴαντος ὑποφαίνει. εἰς τ' Εὐφορίωνα φίδων εἶπεν [ἢ εἰς τ' Εὐφορίωνα ἀπιδὼν εἶπε· διττῶς γὰρ ἐν τοῖς παρ' ἡμῖν γράφεται] Πορφυρέη ὑάκινθε, σὲ μὲν μία φάτις ἀοιδῶν, Ῥοιτείῃς ἀμάθοισι δεδεγμένον Αἰακίδαο, Εἴαος ἀντιλομβὺς ἐγγεγραμμένα κωκυτόν.

29. ΠΡΩ. Ηγεν κατὰ τὴν πρώτην τάξιν ἀριθμοῦνται, καταλέγονται.

Ἁ αἶξ τ' κύτισον, ὁ λύκ⟨ος⟩ τὰν αἶγα διώκᾳ,
Ἁ γέραν⟨ος⟩ τᾤροτρον· ἐγὼ δ' ὅπᾳ τὶν μεμάνημαι.
Αἴθε μοι ἦσαν ὅσα Κροῖσον πόλλα φαντὶ πεπᾶδαι,
Χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ·
Τὼς αὐλὼς μᾶ ἔχρισα, κὴ ἦδον, ἦ τύγε μᾶλον·
Σχῆμα δ' ἐγὼ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.
Βομβύκα χαρίεσσ', οἱ μὰ πόδες ἀσφάλαοι τεῦ,
Ἁ φωνὰ δ' τρύχνα. τ' δ' αὖ τρόπον οὐκ ἔχω εἰπεῖν.

ΜΙΛΩΝ.

Ἦ καλὰς ἄμμε ποᾶν ἐλελήθη βῶκ⟨ος⟩ ἀοιδάς·

30 Capra cytiſum ſequitur, lupus capram,
Grus aratrum: ego vero amore erga te inſanio.
Utinam haberem tantas opes, quantas aiunt Crœſum olim poſſediſſe:
Tunc aurei ambo Veneri conſecrati ſtaremus,
Tu tibias tenens, & aut roſam, aut pomum:
35 Ego vero habitu *ornatus* & novis in utroque pede *ad ſaltandum* calceis.
O Bombyce pulchra, pedes tui albi ſunt ut tali:
Vox mollis eſt, mores vero tuos non poſſum exprimere.

MILO.

Quam bellas cantiones faciens nos meſſor fefellit:

30. ΚΥΤ. Ὁ κύτισ⟨ος⟩, φυτὸν, ὃ νεμόμεναι αἱ αἶγες γάλακτ⟨ος⟩ πλήθυσιν. ἀπὸ κοινοῦ δὲ τὸ διώκᾳ, ἤγουν ζητεῖ.

31. ΓΕΡ. Ἀρχομένᾳ δὲ σπόρᾳ, αἱ γέρανοι φαίνονται. ἐγὼ δὲ ἐπί σοι μανίαν ἔχω.

32. ΑΙΘ. Εἴθε ἐκεκτήμην τὰ Κροίσᾳ, ἀμφότεροι ἂν ἤμεθα ὥσπερ χρυσοῖ τῇ Ἀφροδίτῃ. τὸ δὲ πεπᾶδαι, ἀντὶ τοῦ κεκτῆσθαι.

35. ΑΜΥ. Ἀμύκλαι πόλις Λακωνική. ὅθεν, καὶ Ἀμυκλαῖον παιδίον, τὸ ἐκ τῶν Ἀμυκλῶν. καὶ Ἀμύκλαι εἶδος ὑποδήματος, ὡς ἐνταῦθα, ἀπὸ Ἀμυκλαίας τοῦ πρώτου ὑποδήματα εὑρόντος. γράφεται καὶ, σχῆμα δ' ἐγώ· καὶ ἔστιν ὁ νοῦς τοιοῦτος. ἐρχόμενος δὲ ἐγὼ ἐν τῇ εἰκόνι, ἐποίουν ἐμαυτὸν ἔχοντα Λακωνικὰ ὑποδήματα. ἡ ἐμὴ σκιὰ ἐφαίνετο ἂν ἔχουσα σχῆμα ὀρχηστοῦ, καὶ ἐν ἀμφοτέροις ποσὶν ὑποδήματα.

36. ΟΙ. Οἱ μὰ πόδες σου ἀσφάλαοι εἰσίν, οἷον, εὔρυθμοι, καὶ ὀρθοί· ἢ λεῦκοι ὡς οἱ ἀσφάλαοι.

37. ΤΡΥ. Ἡ τρύχνος. τοῦτο ἐπὶ τρυφερότητος τάσσεται. ἤγουν, ἡ φωνή σου δὲ μαλακὴ, ἐοικυῖα τρύχνῳ. τρύχνος δὲ καὶ τρύχνη, εἶδος λαχάνου, ἡ κοινῶς λεγομένη ἀγριομελιντζάνα, ἱκανῶς μαλακόν. καὶ λέγεται σρύχνος. ὁ δὲ Θεόκριτος ἐξέβαλε τὸ σ ἀφ' ᾧ τὸ μέτρον, τρύχνον εἰπών. ΕΧΩ. Ἀντὶ δὲ ἀγνοῶ, εἰ μὴ ἄρα ἀμίμητον αὐτὸν ἔχεις, ὡς μηδὲ εἰπεῖν τινα ἀξίως.

38. ΚΑΛ. Τοῦτο ὁ Μίλων εἰρωνευόμενος

Ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
Ὢ μοι τῶ πώγωνΘ., ὃν ἀλιθίως ἀνέφυσας·
Θᾶσαι δὴ κὴ ταῦτα τὰ τῶ θείω Λυτιέρσα·
Δάματερ πολύκαρπε, πολύσαχυ, τᾶτο τὸ λαῖον
Εὔεργόν τ' εἶη, κὴ κάρπιμον ὅττι μάλιστα.
Σφίγγετ' ἀμαλλοδέται τὰ δράγματα, μή τις παριὼν
Εἴποι, Σύκινοι ἄνδρες, ἀπώλετο χ' ἕτΘ. ὁ μαθός.

Quam apte vero ſpeciem harmoniæ dimenſus eſt?
Væ barbæ huic quam fruſtra aluiſti!
Vide & hæc, quæ ſunt divini Lytierſæ:
Ceres frugifera, ſpicifera, *effice* ut ſeges
Pulchre elaborata ſit, & fœcunda quam maxime:
Stringite collectores manipulos, ne quis præteriens
Dicat, O ficulnei homines, periit & hæc merces.

νδυόμμος ἐν ᾠδῇ φησί. συσκέκοφε ὃ τὸ ὄνομα· τ' βυκαῖον, βᾶκον κὴ βῶκον εἰπὼν ὑποκοριστικῶς.

39. ΩΣ. Καὶ τᾶτο καθ' εἰρωνίαν. ὡς εὖ τὸ τ' ἁρμονίας εἶδος ἐρύθμησεν ὁ βυκαῖος.

40. ΠΩΓ. Πώγωνα, τὰ γένεια φησίν. ὁ δὲ λόγος ὑοριστικὸς, ὅτι τὰ γένεά σε μωράνουσιν. ἠλιθίως γὰρ αὐτὰ ἀνέφυσας.

41. ΘΑΣ. Τὸ τ' εἰρωνείας ἐξέφηνεν ὁ Μίλων, καταγελῶν αὐτᾶ, ὅτι ἐργάτης ὢν ἐρωτικὸν ᾄδῃ. δυνατὸν δὲ ταῦτα λέγειν κὴ τ' βυκαῖον. θέασαι δέ φησι κὴ ταύτᾳ τὴν τραγῳδίαν Δ Λυτιέρσα, ἣν μέλλω ᾄσαι. Ἰσοσία. Οὗτος δὲ ὁ Λυτιέρσης, ᾠκὴ Κελαινὰς τ' Φρυγίας, υἱὸς τυγχάνων νόθος Δ Μίδα. γεωργὸς δ' ὢν, τὺς παριόντας τ' ξένους ἐνωχῶν, ἠνάγκαζε θερίζειν μετ' αὐτᾶ. εἶτα ἑσπέρας ἀπτέμνων αὐτῶν τὰς κεφαλὰς, τὸ λοιπὸν σῶμα ἐν τοῖς δράγμασι συνελῶν ᾔδει. Ἡρακλῆς δ' ὕστερον τᾶτον ἀπέκτεινας, ἔρριψεν εἰς τ' Μαίανδρον ποταμόν. ὅθεν κὴ νῦν οἱ θερισαὶ κατὰ Φρυγίαν, ᾄδουσιν αὐτὸν ἐγκωμιάζοντες, ὡς ἄριστον θερισήν. τᾶτον δέ φησιν Ἀπολλόδωρος ᾠδὴν εἶναι θερισῶν, λέγων ὅτω· καθάπερ ἐν μὲ θρήνοις ἰάλεμος, ἐν δὲ ὕμνοις ἴυλος, ἀφ' ὧν κὴ τὰς ᾠδὰς αὐτὰς καλοῦσιν, ὅτω κὴ τ' θερισῶν ᾠδὴ Λυτιέρσας. εἶτα ἑξῆς ᾄδων ὁ Βάττος τὴν Δ Λυτιέρσα ᾠδὴν, φησί.

42. ΔΑ. Αὕτη ἐστὶν ἡ Δ Λυτιέρσα ᾠδή.

44. ΣΦΙ. Ἀπέστρεψε τ' λόγον πρὸς τὺς ἑπομένους, κὴ τὰ θεριζόμενα συνθεσμωθέντας· δράγματα δὲ τὰ πληθέντα τ' σαχύων τὴν ἀριστέραν, παρὰ τὸ δράττειν. ὅθεν κὴ δραχμὴ, ἡ πληθοῦσα τὴν χεῖρα τῷ κέρματι. ἁμάλη δὲ συνέστηκεν ἐκ δραγμάτων ἑκατὸν, ἢ κὴ Δ μακοσίων.

45. ΣΥΚ. Ἤγουν ἀσθενεῖς, κὴ ἀχρεῖοι, ὅτι τὸ τ' συκῆς ξύλον, εὔθραυστον, ἀσθενὲς, κὴ ἀδύνατον. ὅθεν κὴ παροιμία, συκίνη ἐπικουρία, ἡ μηδὲν ὠφελοῦσα· ἀπὸ μεταφορᾶς τ' συκῆς.

Ες βορέω ἄνεμον τᾶς κόρθυ θ᾽ ἁ τομὰ ὔμμιν
Ἢ ζέφυρον βλεπέτω· παινεῖ δ᾽ ὁ σάκχυς ὕπνος.
Σῖτον ἀλοιῶντες φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
Ἐκ καλάμας ἄχυρον τελέᾳ τημόσδε μάλιστα.
Ἄρχεσθαι δ᾽ ἀμῶντας ἐγειρομένω κορυδαλλῶ,
Καὶ λήγειν εὕδοντι· ἐλιννῦσαι γὰ τὸ καῦμα.
Εὐκτὸς ὁ τῶ βατεάχω παῖδες βίοι· ἃ μελεδαίνᾳ
Τὸν τὸ πιᾶν ἐλχῦντα· πάρεστι γὰ ἄφθονον ἀρῶσαι.

Ad boream ventum acervi sectio vobis
Vel zephyrum spectet: sic enim aristæ pinguescunt.
Qui trituratis frumentum, fugite somnum meridianum:
Ex culmo tunc paleæ quam maxime exeunt.
Messores incipere *opertet*, cum galerita excitatur:
Et desinere, cum illa dormit: & ne sensu tolerare æstum.
O pueri, ranæ vita optanda est, quæ non curat
Eum qui potum ministrat: abunde enim illi suppetit.

46. ΒΟΡ. Παρατετηρημένον λέγει, τὰς τὰς ἀμάλας θημονοδετοῦντας, ὕτω τιθέναι, ὡς τὰς σάκχυας ἐμπνεῖσθαι ὑπὸ βορέα, ἢ ζεφύρου. τὸ γὰρ κόκκον ἐνδοτέρω ὄντα ὕτω συμβαίνει πιαίνεσθαι ἐμπνεόμενον. κόρθυος δὲ, ὅταν τὰ ἀμάλαν συγκείμενα θημῶνος. Ἄλλως. Κόρθυν, τὸ σωρὸν λέγει. ὅταν δὲ τὰ δράγματα δεθῇ, τὰς σάκχυας σωρεύσασι πρὸς ἀλλήλας νυσσόκοτας ἔσωθεν. τὰ δὲ κῶλα αὐτῶν, ἃ τινες αὐλὰς καλοῦσιν, ἔξω ἐστραμμένα ἐᾶσιν, ὅπως διὰ τῶν αὐλῶν ὁ ὦτος ῥιπιζόμενος πιαίνηται, καὶ ἄδροχος καὶ ἄσηπτος διαμείνῃ. ἡ κόρθυς δὲ, κλίνεται τῆ κορθυος· ὡς ἡ πίτυς, τῆ πίτυος.

48. ΣΙΤ. Ἑτέρα παραίνεσις. Δεῖ τὰς ἀλοῶντας μεσημβρίας ἀλοᾶν. ἐπιτηδειότατος γάρ ἐστιν ὁ μεσημβρινὸς καιρὸς πρὸς τὸ ἀλοᾶν. φλέγοντος γὰρ μάλιστα τηνικαῦτα τὴν καλάμην, τὸ ἄχυρον συμβαίνει λεπτότερον γίνεσθαι. καλάμη δὲ, τὸ κατωτέρω τῶ σάκχυος. ὅσον τε σὺν τῷ σάκχυϊ τέμνεται, καὶ ὅσον σὺν τῇ γῇ ἄτμητον ὑπολιμπάνεται.

50. ΑΡΧ. Δεῖ φησι τὰς ἀλῶντας, μεσημβρίας ἀλοᾶν. τὰς δὲ ἀμῶντας, ἄρτι λευκαινομένης τῆς ἠῶς ἄρχεσθαι τῶ ἀμητοῦ· λήγειν δὲ ἐπισκιαζομένης ἤδη τῆς γῆς.

51. ΕΛΙ. Ἤτοι τὸ μέσον τῆς ἡμέρας ἡρεμεῖν, βραδύνειν. τὸ θέμα, ἐλινύω τὸ βραδύνω· ἀπὸ ἀσκόπως δὲ τοῦτο λέγει. ὁ γὰρ κορυδαλλὶς τῶν ὀρνέων, πρῶτος ἐγείρεται τὸ λυκόφως ἐπὶ τὰς νομὰς ἀφικνεῖται, καὶ τελευταῖος ὑποσρέφει.

52. ΕΥΚ. Μακάριος. ἐπισκώπτει δὲ τὸ ἐργοδότην, ὡς μὴ αὐταρκες ποτὸν παρεχόμενον. εὐκτὸς δὲ, ὁ εὐχῆς ἄξιος, καὶ εὐκταῖος. ἀπόκτος δὲ ὁ ἀποκταῖος, ὁ μισητός.

54. ΚΑΛ.

Κάλλιον ὦ ἐπιμελητὰ φιλάργυρε τὼς φακὸς ἕψειν,
Μὴ ἐπιτάμῃς τὰν χεῖρα καταπείων τὸ κύμινον. 55
Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδεν.
Τὸν δὲ τεὸν βυκαῖε πρέπει λιμενῶν ἔρωτα
Μυλίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρεύοισᾳ.

Pulchrius tibi est, ô procurator avare, lentes coquere,
55 *Vide* ne manum vulneres dum cyminum dividis.
Hæc decet viros in æstu solis laborantes cantare.
Tuum vero ô messor noxium amorem oportet
Narrari matri in lecto mane vigilanti.

54. ΚΑΛ. Ὁ λόγ⊙ πρὸς τὸν ἐπισάτλιν τ̃ θερισῶν, ὀλίγῳ τροφὴν αὐτῷ παρεχόμενον. Ἄλλως. τὸ ἐπιμελητὰ, ἀντὶ δ̃ ὦ ἐργοδότα· ὃν δὴ ἐργοδότην φιλάργυρόν φησι. τὸ δὲ τ̃ φακὸν ἕψειν, παρ' ὑπόνοιαν. ἔδει γὰρ εἰπεῖν τὸ κρέας· ἢ, κάλλιον ὦ ἐπισάτα ἕψειν σε τ̃ φακὸν ὁλόκληρον. κ̀ ὅρα ἵνα μὴ ἐπιτάμῃς, ἤγουν χίσῃς τὴν χεῖρα καὶ ἀπρίων αὐτὸν δηλονότι, ὡς οἱ τὸ κύμινον. καθὰ εἰώθαμεν τὺς ἄγαν φειδωλὺς, κυμινοπρίστας καλεῖν. σκώπτει δὲ αὐτὸν ὁ λόγ⊙ ὡς φιδωλόν.

56. ΤΑΥ. Τινὲς δ̀ δ̃ Μίλων⊙ λέγουσιν εἶναι τ̃ λόγον. ἀπὸ δ̃, ἢ καλὰς ἄμμε ποῶν ἐλελήθει βῶκ⊙ ἀοιδᾶς, μέχρι τέλους δ̃ εἰδυλλίου. ἄλλοι δὲ λέγουσιν, ὅτι δ̀ Μίλωνός ἐστιν ὁ λόγ⊙ τὸ, ἢ καλὰς ἄμμε ποῶν, μέχρις, ὦμοι δ̃ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσας. τὸ δὲ μετὰ ταῦτα, ἤγουν τὸ, θᾶσαι δὴ κ̀ ταῦτα τὰ θείω Λυτιέρσα, λέγουσι τ̃ Βάτλον λέγω μέχρι δ̃, μὴ ἐπιτάμῃς τὴν χεῖρα καὶ ἀπρίων τὸ κύμινον. τὸ δ̀ ἐξῆς, ὡς ἀπὸ δ̃ Μίλων⊙. ἤτοι τὸ, ταῦτα χρὴ μοχθεῦντας, κ̀ τὺς μετὰ ταῦτα δύο στίχους. Ἄλλως. Ταῦτα χρὴ μοχθεῦντας] Ταῦτα τὰ μέλη τὰ προφημθέντα δηλονότι, χρὴ τὺς θερίζοντας ᾄδειν, καὶ ὄχι ἐρωτικὰ ὥσπερ σὺ ποιεῖς βυκαῖε δηλονότι. ἢ ὑποδέχ̀ τὺς θερίζοντας δ̃ θερισμῶ̃ φροντίζειν, κ̀ μὴ δ̃ ἔρωτ⊙. ὁ λόγ⊙ ἐκ δ̃ Μίλων⊙. οἱ δὲ καὶ τοῖς ἑπάνω ταῦτα συνάπτουσι.

57. ΤΟΝ. Περὶ δὲ δ̃ ἐρωτός σε ὦ Βάτλε δ̃ πλωχῦ, προσῆκόν ἐστι τῇ μητρί σε λέγειν ἐν τῇ κοίτῃ κατὰ τ̃ ὄρθρον κειμθήν. ἢ ἀνισαμθὴν ὄρθρε, κ̀ μὴ νῦν ἐμοί. τὸ δὲ λιμηρὸν, ἀντὶ δ̃ πλωχόν. ἢ χρὴ δέ σε τ̃ σαυτῦ ἔρωτα πρὸς τὴν μητέρα λέγειν, ὅτε γεγηρεῖ ἐν τῇ κοίτῃ.

ΥΠΟ-

ΥΠΟΘΕΣΙΣ
τῦ Ενδεκάτυ Εἰδυλλίυ.

Ὑπόκειται ὁ Κύκλωψ παρηγορῶν ἑαυτῦ τ ἐπὶ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς, Προσλαλέγεται δὲ ὁ Θεόκριτ@ ἰατρῷ Νικίᾳ, Μιλησίῳ τὸ γέν@, ὃς συμφοιτητὴς γέγονε Ερασιστράτυ, ἰατρῦ ὄντ@ κ) αὐτῦ. Φέρεται δὲ καί τι ποιημάτιον αὐτῦ ἀντιγεγραμμένον ὑπὲρ Κύκλωπ@ πρὸς Θεόκριτον.

ARGUMENTUM
IDYLLII XI.

Proponitur Cyclops qui amorem ſuum erga Galateam carmine ſolatur. Alloquitur autem Theocritus Niciam medicum, Mileſium natione, qui condiſcipulus fuit Eraſiſtrati, etiam medici. Fertur vero & aliquod ab illo carmen reſcriptum de Cyclope ad Theocritum.

ΚΥΚΛΩΨ,
Εἰδύλλιον ια.

Οὐδὲν ποτ' ἄλλον ἔρωτα πεφυκὼς φάρμακον ἄλλο,
Νικία, ἢ τ' ἔλχειον, (ἐμὶν δοκῶ) ἢ τ' ὄπταον,

CYCLOPS,
IDYLLION XI.

NUllum contra amorem natum eſt remedium aliud,

O Nicia, neque quod vel inungi vel aſpergi poſſit, ut opinor,

ΟΥΔΕΝ. Οὐδὲν ἀδὲν ἔρωτός μοι δοκεῖ φάρμακον πεφυκέναι, ὦ Νικία, εἰ μὴ ἡ παιδεία, κ) αἱ μῦσαι. ταύταις γὰρ ὁ Κύκλωψ πρὸς ἀγαγωγὴν τ ἔρωτ@ τ Γαλατείας ἐχρῆτο. κ) φιλόξεν@ ποιεῖ τ Κύκλωπα παραμυθούμενον ἑαυτὸν, ἐπὶ τῷ τ Γαλατείας ἔρωτι, κ) ἀντελλόμενον τοῖς δελφίσιν, ὅπως ἀγγείλωσιν αὐτῷ, ὅπως τας μύσταις τ ἔρωτα ἀκεῖται. κ) Καλλίμαχ@· Ὡς ἀγαθὸς Πολύφαμ@ ἀνεύρατο τὰν ἀοιδάν, Αἱ μῦσαι τ ἔρωτα κατίχανεν. Ἄλλως. Ὦ Νικία, ἀδεμία θεραπεία ἄλλη ἐσὶ πρὸς τ ἔρωτα, παρὲ αἱ μῦσαι, αὗται γὰρ θεραπεύουσι τ ἔρωτα. τὸ δὲ τοιῦτο φάρμακον, κῦφον κ) χάριεν γίνεται εἰς τὰς ἀνθρώπυς. δύσκολον δὲ κατὰ τὴν εὕρεσιν. γινώσκῃς δὲ κ) σὺ τῦτο ἐπισημόνως, ὡς ἰατρὸς κ) φίλ@ ταῖς μύσταις. κ) τῦτο παράδειγμα ὁ Κύκλωψ. εὐκολώταλα γὰρ σκεῖν@ ἐθεράπευε τὸν ἔρωτα μιλυργῶν, κ) ταῖς μύσταις προσέχων, ὅτε ἠράσθη τῆς Γαλατείας

Ἢ παὶ Πιερίδες. κῶφον δέ π τῶτο κ᾽ ἀδὺ
Γίνετ᾽ ἐπ᾽ ἀνθρώποις· εὑρεῖν δ᾽ ὐ ῥᾴδιόν ὄτι.
Γινώσκειν δ᾽ οἶμαι τὺ καλῶς, ἰατρὸν ἐόντα,
Καὶ παῖς ἐννέα δὴ πεφιλαμμένον ἐξοχα μοίσας.
Οὕτω γοῦν ῥαΐτα Δᾴᾳ᾽ ὁ Κύκλωψ ὁ πᾴ ἡμῖν,
Ὡ ᾽ρχαῖε Πολύφαμε, ὅκ᾽ ἤρατο τᾶς Γαλατείας,
Ἄρτι γενειάσδων πρὶ τὸ σόμα τὼς κροτάφως τε.
Ἤρατο δ᾽ ὔπ ῥόδοις, ὐ μάλοις, ὐδὲ κιχίνοις,

Quam Musæ. Leve *hoc* & jucundum
Nascitur inter homines: quod tamen facile non est invenire.
Puto autem *ego* bene nosse te *hoc*, medicus cum sis,
Et novem Musis eximie carus.
Sic Cyclops apud nos commode vixit,
Antiquus ille Polyphemus, cum amaret Galateam,
Jam primum pubescens circa os & tempora.
Amavit vero non rosis, aut pomis, aut cincinnis,

λατείας νέος ὢν, κ᾽ ἄρτι τὴν ἔκφυσιν τ γενείων ἐν τῷ πώγωνι δεικνύων. ἐκινήθη δ᾽ εἰς ἔρωτα, ὐχ ὑπὸ μήλων, ἢ ῥόδων, ἢ ὑπὸ φαύλων τινῶν λέγω κιχίνων, τυτέστι τριχῶν, ἀλλ᾽ ὑπ᾽ ὀλοῶν μανιῶν. ὥστε κ᾽ τὰ προσόντα αὐτῷ ἡγεῖτο πάρεργα. κ᾽ γὰρ αἱ ὗες αὐτῦ ἄδοντος ἐπὶ τ ἠόνος, ἐν τ νομῆς μόναι ἐπανῆλθον εἰς τὸ αὔλιον, τυτέστιν εἰς τὴν μάνδραν· αὐτὸς δ᾽ καθήμενος, ᾠδὴν ἔχων ἐν τ Ἀφροδίτης ἐξαίρετον ἔλκος, ὅπερ ἐνέπηξε τῷ ἤπατι αὐτῦ. Ἰσέον, ὅτι τῶν φαρμάκων τὰ μὲν εἰσι χρισά, ἤγουν, ἅπερ χριόμεθα εἰς θεραπείαν· τὰ δ᾽ ποτα, ἤγουν, ἅπερ πίνομεν· τὰ δὲ ἐπίπαστα, ἤγουν, ἅπερ ἐπιπάττομεν.

3. ΚΟΥ. Τὸ κατὰ φιλοσοφίαν ἁρμόττατον παρέχει τὸ πάθος· ἤγουν, συντόμως γίνεται ἡ σοφία. κ᾽ σύντομον τὸ μυστικὸν εἶναί τινα.

4. ΕΥΡ. Τὴν φιλοσοφίαν λέγει, ἢ τὴν παιδιάν, ὅτι ὐκ ἔστιν εὐχερὲς ἐκγενέσθαι φιλοσοφίας, ἢ παιδείας.

7. ΟΥΤ. Τῦτον δὲ τ τρόπον ῥᾴδιον διῆγε κ᾽ ὁ παρ᾽ ἡμῶν Κύκλωψ Δᾴᾳ τ ᾠδῶν. τὸ γὰρ παρ᾽ ἡμῶν ἐπὶ τ Σικελίας φέρει. καθὸ κ᾽ Συρρακούσιός ἐστι. δοκεῖ δέ τισιν, ὅτι κ᾽ ἡ πλάνη τῦ Ὀδυσσέως, ἐκ Σικελίαν πε γέγονε.

10. ΗΡΑ. Εἰς ἔρωτα ἐκινήθη· ἠράσθη ὐκ ἐλαφρῶς, ὥστε μῆλα διδόναι, ἢ ῥόδα, ἢ ἕτερόν τι εἰς τὸ καλλωπίζειν. ἢ ἠράσθη ὐκ ἐλαφρῶς, κ᾽ τ κατὰ μέρος αὐτῆς, ὅτε ῥόδων, ὅτε μήλων. μήλων μὲ ἐπὶ τ ὄψεως· ῥόδων δ᾽, τ γυναικείας ἥβης. παρόσον κ᾽ ῥοδωνιὰν αὐτὴν ἔφη ὅτε λέγει. ὡς Κρατῖνος ἐν Νεμέσει· Ὡς τ᾽ ἂν ἐθέλοιν τοῖς σιτίοις ἥδομαι. ἁπαλὰ δεῖ εἶναι δοκεῖ ῥοδωνιὰ, κ᾽ μῆλα, κ᾽ σέλινα, κ᾽ σισύμβρια. ΚΙΝ. Τοῖς μαλλίοις, τῇ κόμῃ. ὡς κ᾽ ὁ κωμικὸς κέχρηται· Ὥσπερ ἐξέλειος ἔχων κιχίνους.

12. ΑΥΤ.

Αλλ' ὁλοαῖς μανίαις. ἀγεῖτο δὲ πάντα πάρεργα.
Πολλάκι ταὶ ὄϊες ποτὶ τ' αὔλιον αὐταὶ ἀπλῶθον
Χλωρᾶς ἐκ βοτάνας· ὁ δ' ἐν τὰν Γαλάτειαν ἀείδων,
Αὐτῶ ἐπ' ἀϊόνος κατεπάκετο φυκιόεσσας
Ἐξ ἀῶς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριος ἐκ μεγάλας, τό οἱ ἅπατι πᾶξε βέλεμνον.
Αλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ὀπὶ πέτρας
Ὑψηλᾶς, ἐς πόντον ὁρῶν, ἄειδε τοιαῦτα·
Ὦ λευκὰ Γαλάτεια, τί τ' φιλέοντ' ἀποβάλλῃ;
Λευκοτέρα παχίας ποτιδεῖν, ἁπαλωτέρα δ' ἀρνός,
Μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς.

Sed perniciosis furiis: ducebat autem omnia posthabenda.
Sæpe oves ad ovile *sine duce* sua sponte redibant
Ex viridi gramine: ipse vero Galateam cantu celebrans
In ipso algoso litore consumebatur,
Inde usque ab aurora, infensissimum habens sub pectore vulnus
A Venere potenti, quod telum illi in hepate fixerat.
Sed hoc remedium ille invenit, sedensque in rupe
Præcelsa, in mare prospectans, talia canebat:
O candida Galatea, cur amantem respuis?
Candidior caseo, cum aspiceris: tenerior agno,
Vitulo lascivior, acerbior uva immatura.

12. ΑΥΤ. Αὐταὶ ἀντὶ τοῦ νόμαι, Ὅμηρος· Τυδείδης δ' αὐτὸς ποιέων. ἀντὶ τοῦ αὐτόματος καὶ μόνος.

17. ΑΛΛ. Αλλὰ τετραμμένος ὑπὸ τᾶς Αφροδίτας, εὗρε τὸ φάρμακον, τυτέστι τὴν θεραπείαν. Καθεζόμενος γὰρ ἐπάνω τινὸς πέτρας ὑψηλᾶς, μέλη τινὰ συνετίθει ἐμμανέσως, πρὸς τὴν θάλασσαν βλέπων.

19. ΑΠΟ. Μισεῖς, ἀποῤῥίπτεις. ἀποβάλλω γάρ, τὸ ἀποῤῥίπτω. προσβάλλω, τὸ προσκρούω· ὡς τὸ, προσβάλλουσιν οἱ πολέμιοι τοῖς τείχεσι τᾶς πόλεως. ἐνβάλλω, τὸ ἐνδύω. ὅθεν καὶ ἐνβολὴ, τὸ ἔνδυμα.

20. ΛΕΥ. Τυρὸς πεπηγότος· ὃ οἱ Αττικοὶ τροφαλίδα καλοῦσι.

21. ΓΑΥ. Αὐθαδεστέρα. γαῦρος γὰρ ὁ ἐπηρμένος. καὶ γαυριᾷ ῥῆμα, ἀντὶ τοῦ ἐπαίρεται. ἐκ τούτου συγκριτικὸν, γαυρότερος, καὶ γαυροτέρα θηλυκόν. ΦΙΑ. Σκληροτέρα ἀώρου σαφυλῆς. ὄμφαξ γὰρ ἡ ἄωρος σαφυλὴ, καὶ ἡ ἄωρος ἐλαία. ὅθεν καὶ ὀμφάκινον ἔλαιον, τὸ ἐξ ἀώρων ἐλαιῶν γινόμενον, ὃ δὴ πινόμενον, τοὺς ἐν τῇ κοιλίᾳ πλατείας ἑλκώσθας ἀναιρεῖ.

Φοιτῇς δ' αὖθ' ὅτως ὄκκα γλυκὺς ὕπνος ἔχῃ με·
Οἴχῃ δ' εὐθὺς ἰοῖσα ὅκα γλυκὺς ὕπνος ἀνῇ με·
Φεύγῃς δ' ὥσπερ ὄις πολιὸν λύκον ἀθρήσασα.
Ἠράθλω μὲ ἔγωγε κόρα τεῦ, ἀνίκα πρᾶτον
Ἦνθες ἐμᾷς σιὼ ματρὶ, θέλοισ' ὑακίνθινα φύλλα
Ἐξ ὄρεος δρέψαθαι· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον.
Παύσαθαι δ' ἐσιδὼν τὺ κὴ ὕστερον οὐδέπω νυῶν
Ἐκ τοίω δύναμαι· τὶν δ' οὐ μέλει οὐ μὰ Δί' οὐδέν.
Γινώσκω χαρίεσσα κόρα τίνος ἕνεκα φεύγεις·
Οὕνεκα μοι λασία μὲν ὀφρὺς ὅλη παντὶ μετώπῳ
Ἐξ ὠτὸς τέταται ποτὶ δῶτερον ὡς μία μαχρά.
Εἷς δ' ὀφθαλμὸς ἔπεστι πλατεῖα δ' ῥὶς ἔπι χείλος.

Soles vero huc venire, cum me dulcis somnus tenet:
Recedis vero statim abiens cum dulcis somnus me reliquit,
Fugisque velut ovis canum lupum conspicata.
Amare te cœpi puella tunc, cum primum
Venisti cum mea matre, volens hyacinthina folia
Ex monte decerpere; ego vero viæ dux eram.
Neque, ubi te vidi, postea desinere, ne nunc quidem,
Ab eo inde tempore potui: tu vero prorsus nihil per Jovem curas.
Scio pulchra puella, quare me fugis:
Quia mihi hirsutum supercilium per totam frontem,
Ab aure altera ad alteram protensum est aurem, unum longum.
Unus vero oculus subest, & latus nasus supra labra.

24. ΛΥΚ. Ἀντὶ τοῦ λύκου. οἱ γὰρ λύκοι, αἰσθανόμενοι τὴν χροιάν· ἐπεὶ ὧν ἐκ μέλανος καὶ λευκὸς εἰσὶ τὰ τοιαῦτα, εἶπε καταχρηστικῶς τοὺς λύκους λευκούς· ἢ πολιὸς, ἀντὶ τοῦ γεραιὸς, καὶ παλαιός.

27. ΔΡΕ. Τὸ δρέψασθαι, κυρίως ἐπὶ βοτανῶν, καὶ ἐπὶ φύλλων δένδρων· καὶ λέγεται ἀεὶ παθητικῶς· τὰ γὰρ ἐνεργητικὰ ἄχρηστα. σημαίνει δὲ τὸ τίμιον, ἐπὶ δὲ τούτου τοῦ δρέπω ἀχρήστου, καὶ δριπάκη, δι' ἧς τὰς ἀσταχύας δρέπομεν.

28. ΠΑΥ. Οὐ δύναμαι παύσασθαι ἐξ ἐμείνου τοῦ καιροῦ, καθ' ὃν εἶδόν σε, ὅτε μὴ τοῦτο, ὅτε μέχρι τοῦ νῦν.

33. ΠΛΑ. Τετάσθαι εἰωθὸς σιμοῦ· σιμὸς δέ ἐστιν, ὁ συσταθμιζόμενος ἔχων τὴν ῥῖνα, καὶ ἀνεστηκότας τοὺς ῥώθωνας. γρυπὸς δὲ, ὁ ἐπικαμπῆ ταύτην ἔχων, ὀκλάζων ἐρρικώς.

Αλλ' αὐτὸς τοιοῦτος ἐών, βοτὰ χίλια βόσκω·
Κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενον γάλα πίνω·
Τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρᾳ,
Οὐ χειμῶνος ἄκρου· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
Συρίσδεν δ' ὡς οὔτις ὑπίσταμαι ὧδε Κυκλώπων,
Τίν, τὸ φίλον γλυκύμαλον, ἐμὲ κἠμαυτὸν ἀείδων,
Πολλάκι νυκτὸς ἀοιδᾷ. τρέφω δέ τοι ἕνδεκα νεβρώς,
Πάσας ἀμνοφόρους, καὶ σκύμνους τέσσαρας ἄρκτων.

Verum ego ille qui talis ſum, oves mille paſco;
Et lac optimum, quod ex illis mulgetur, bibo:
Nec caſeus mihi deſit in æſtate, neque in autumno,
Neque ſumma etiam hyeme: fiſcellæ enim ſunt oneratæ ſemper.
Fiſtula vero melius canere novi quam ullus hic Cyclopum,
Tecum, ô carum dulce pomum, me ipſum *quoque* cantu celebrans,
Idque ſæpe nocte intempeſta. Alo tibi undecim hinnulos,
Omnes fœtus, & catulos quatuor urſarum.

34. ΑΛΛ. Αλλ' ἐγὼ αὐτὸς τοιοῦτος ὤν, ἀρχήμων δηλονότι καὶ δυσειδής, ποιμὴν εἰμὶ προβάτων χιλίων, καὶ βόσκω αὐτά. καὶ τὸ γάλα τούτων τὸ κάλλιστον πίνω ἀμελγόμενον. ἰσέον, ὅτι τὸ ἀμέλγω κοινόν, ὁ καὶ βδέλλω, τὸ σκαπτίζω. ὁ καὶ τοῦτο καὶ βδέλλα, ἡ σκυμνώσασα καὶ πίνουσα τὸ αἷμα. Αττικῶς δὲ, βδάλλω τὸ αὐτό.

37. ΤΑΡ. Ταρσοὶ τὰ κοινῶς λεγόμενα τυροβόλια, καὶ γίνεται ἀπὸ τοῦ τείρω, τερῶ, καὶ πλεονασμῷ τοῦ σ, καὶ ἀναδόσει τοῦ τόνου, τέρσω. ἀφ' οὗ ταρσός. ὁ ᾧ τινι δηλονότι, ὁ τυρὸς ξηραίνεται.

38. ΣΥΡ. Γινώσκω ἢ ἀφὰ σύριγγος μελεργεῖν, ὡς οὐδεὶς τῶν ὁπουδαῦν ὄντων Κυκλώπων.

39. ΤΙΝ. Τοῦτο πρόσφθεγμα ἐρωτικόν. εἰώθασι γὰρ οἱ ἐρῶντες πρὸς τὰς ἐρωμένας λέγειν, γλυκύ μου μῆλον. ἐμαυτὸν καὶ σὲ παρὰ καιρὸν τῆς νυκτὸς ᾄδω· τουτέστι, ἀφὰ μελεργημάτων ἐσκωμιάζω. Ἄλλως. γλυκύμαλον. ναί φησιν οὕτω τὸ συρίζειν ἐπίσταμαι, ὡς οὐδεὶς τῶν Κυκλώπων, ὑμνῶν τὸ προσφιλέστατόν μοι γλυκύμηλον. ἤγουν τὸ γλυκὺ μῆλον. μῆλον δὲ ἐστιν ὡς μελίλωτον. ἔστι καὶ μῆλα γένος. Σαπφώ· Γλυκύμαλον ἐρεύγετε, ὡς ἄρκα ἐπ' ὐδῶ.

40. ΤΡΕ. Τοῦτο ἰδιωτικόν. ἤγουν, παρακινητικὸν πρὸς ἔρωτα, ὅτι ἐν εὐπορίᾳ ἔχω καὶ ἐλάφους, ἢ τὰ γεννήματα αὐτῶν. ἀμνοφόρους δὲ, ἀμνίδας καὶ βρίφη φέρουσας, ἢ μαινοφόρους. γράφεται δὲ ἐν τισι καὶ ὕτω. μαίνος δέ ἐστιν, ὁ εὐτραχήλος κόσμος, τὸ λεγόμενον μανάκιον.

41. ΣΚΥ. Καὶ σκύμνους ἄρκων τέσσαρας.

42. ΑΛΛ.

Αλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, κ) ἔξεις ὐδὲν ἔλασσον·
Τὰν γλαυκὰν ὃ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
Ἄδιον ἐν τὠντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς·
Ἐντὶ δάφναι τίλιαι, ἐντὶ ῥαδιναὶ κυπάρισσοι·
Ἐντὶ μέλας κισσὸς, ἔντ' ἄμπελος ἁ γλυκίκαρπος·
Ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
Λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, πεφίπτι.
Τίς κεν τῶνδε θάλασσαν ἔχθην ἢ κύμαθ' ἕλοιτο;
Αἰδέ τοι αὐτὸς ἐγὼ δοκέω λασιώτερος ἦμες,

Sed veni tu ad me, habebis nihil minus.
Glaucum vero mare ſine litus ferire.
Jucundius in antro apud me noctem tranſiges:
Ibi ſunt lauri, ſunt proceræ cupreſſi:
Eſt & nigra hedera: eſt vitis dulciſſimos fructus ferens:
Eſt & gelida unda, quam mihi nemoroſa Ætna
Ex candida nive, potum divinum, miniſtrat.
Quis præ his in mari & fluctibus vivere malit?
Si vero ego videor tibi eſſe hirſutior,

42. ΑΛΛ. Αλλ' ἐλθὲ πρὸς ἐμέ. κ) ἔχ ἧττον ἐμοῦ ἕξῃς. δηλονότι, ὁμοίως ἐμοὶ ἀπολαύσῃς τ ἐμῶν.

45. ΡΑΔ. Ῥαδινὸν τὸ ἐπίμηκες κ) λεπτόν. τὸ ῥεῖα, ἤγουν ἐυκόλως διήκμενον.

46. ΕΝΤ. Οὐκ ἀσκόπως τοῦτό φησι. παραδίδωσι δὲ ὁ Κρατῖνος, κ) ἄλλον λευκὸν κισσόν. ὃ τ καρπὸν μὴ τὸ τριβῆναι πινόμενον, πρὸς παιδοποιΐαν φασὶ συντελεῖν.

47. ΑΠΟ. Ισέον, ὅτι ἡ Αἴτνη τὸ ὄρος τ Σικελίας, ἐξ ἑνὸς μέρους πῦρ ἀναπέμπει, ὃ κ) Αἰτναῖον λέγεται· ἐκ δὲ θ ἑτέρου μέρους ἐστὶ διηθεφόρον, ἐν ᾧ κ) χιὼν διέτους τηρεῖται, ἐξ ἧς φησιν ὁ Θεόκριτος τ χιόνος τηκομένης, ῥεῖν τὸ ὕδωρ κ) μάλα ψυχρόν.

48. ΠΟΤ. Νέκταρ, θεῶν πόμα. ἀμβροσίᾳ τροφὴ θεῶν, ὡς φασιν Ἕλληνες. ἐκ δὲ τ ἀμβροσίας, κ) ἀμβρόσιον πόμα, τὸ θεῖον, τουτέστι τὸ γλυκύτατον.

49. ΤΙΣ. Ηγεν, τίς τοσαῦτα ἔχων ὅσα ἐγὼ ἔχω δηλονότι, ἀφεὶς ταῦτα προέλοιτο, ἤγουν προκρίνοι οἰκεῖν θάλασσαν κ) κύματα.

50. ΑΙ. Εἰ ἐγὼ παρὰ σοὶ νομίζομαι λάσιος εἶναι, δηλονότι σύνοφρυς, κ) ἀλφὸ τοῦτο μεμίσημαι, ἐσί μοι ξύλα ὀρεῖνα· κ) καιόμενος κ) τὴν ψυχὴν κ) τ ἕνα ὀφθαλμὸν, ὃ γλυκερώτερον ὀδὲν ἐμοὶ ὑπὸ σοῦ, ὑπομενέναιμι ἂν ἡδέως. τοῦτό φησιν, ὅτι οἱ ἐρῶντες πάσχοντες ὑπὸ τ ἐρωμένων τὰ ἔσχατα τ δεινῶν, ἡδέως φέρουσιν.

Ἐντὶ δρυὸς ξύλα μοι, καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
Καμόμυρον δ' ὑπὸ τεῦ καὶ τὰν ψυχὰν ἀνεχίμαν,
Καὶ τ' ἕν' ὀφθαλμόν, τῷ μοι γλυκερώτερον οὐδέν.
Ὤ μοι ὅτ' οὐκ ἔτικέν μ' ἃ μάτηρ βαίαισ' ἔχοντα,
Ὡς κατέδυν ποτὶ τίν, καὶ τὰν χέρα τεῦ ἐφίλασα,
Αἰ μὴ τὸ στόμα λῇς· ἔφερον δέ τοι ἢ κρίνα λευκά,
Ἢ μάκων' ἁπαλάν, ἐρυθρᾷ πλαταγώνι' ἐχρίσαν.
Ἀλλὰ τὰ μέν, θήρευ, τὰ δ' γίνεται ἐν χειμῶνι·
Ὡς δ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
Νῦν μὰν, ὦ κόρον, νῦν αὐτόθι νᾶν γε μαθεῦμαι,

Sunt mihi querna ligna, & ſub cinere ignis inextinctus:
Et perferre poſſum, ut etiam anima mea à re comburatur,
Et unicus ille oculus, quo mihi nihil dulcius eſt.
Hei mihi quod mater non peperit me habentem branchias,
Ut ad te per undas irem, ac manum tuam oſculerer,
Si quidem os non velles: adferrem vero tibi vel alba lilia,
Vel papaver tenerum, quod rubra crepiracula habet.
Atqui hæc quidem in æſtate, alia vero gignuntur hyeme.
Ut omnia hæc ſimul tibi afferre non poſſim.
Nunc profecto hic, ô puella, natare diſcam,

54. ΜΟΙ. Ἀποῤῥῶν ὁ Κύκλωψ καὶ ἀπτυσχάνων ὡς ἐρᾷ Νηρηίδος τῆς Γαλατείας, φησὶ δύνοπαθῶν· φεῦ μοι, ὅτι οὐκ ἐγέννησέ με ἡ μήτηρ μου ἰχθύν, ἵνα νῦν ἂν κατεφίλησα τὴν χεῖρά σου, ἐὰν μὴ τὸ στόμα θέλῃς.

56. ΕΦΕ. Ἔφερον δέ σοι καὶ ἐρωτικὰ σύμβολα· κρίνα δηλονότι λευκὰ καὶ μήκωνος φύλλα. ἀλλ' οὐκ ἂν δυνηθείην φέρειν σοι ἀμφότερα ἐν αὐτῷ τῷ καιρῷ· τὰ μὲν κρίνα ἐν θέρει εἰσί· τὰ δὲ τῆς μήκωνος φύλλα, ἐν χειμῶνος. μήκων δὲ λέγεται ἡ κεφαλὴ, καὶ ἀνθηφόρος βοτάνη, ἡ κοινῶς λεγομένη κώδεια.

57. ΕΡΥ. Τὰ τῆς μήκωνος φύλλα φησὶ, καὶ τὰ τῆς ἀνεμώνης, ἀπὸ τῆς πλαστῆς, ὅ ἐστι ψοφεῖν. τιθέντες γὰρ αὐτὰ κατὰ τὸ ἀντίχειρα καὶ τὸ λιχανὸν δάκτυλον, τύπτουσι τῇ ἑτέρᾳ χειρὶ, καὶ ὕστω σημαίνονται, εἰ ἀγαπῶνται ὑπὸ τῶν ἐρωμένων. ὥσπερ καὶ ἀπὸ τοῦ πλαταγῶνος ψόφος, εἰ ἀψόφως ἐπικρυσθείη.

60. ΝΥΝ. Λείπεται τοίνυν, ὦ κόρη, ἐπεὶ ἡ βραχία ἔχω, τυτίσιν ἐκ ἰχθὺς ἐγνόμην, μαθεῖν ἐμὲ τὸ νεῖν, τυτίσι τὸ πλέειν, καὶ κολυμβᾶν. ἐάν περ ἀφίκηταί τις ξεῖνος ταῦθα μὴ νήσος· ἔτος γὰρ ἐμὲ διδάξεται δηλονότι πλέειν, ἵνα μάθω τί γλυκύ ἐστιν ὑμῖν ταῖς Νηρηίσι δηλονότι τὸ κατοικεῖν τὸ βυθόν.

63. ΕΞΕ.

Αἰκά τις σὺ ναὶ πλέων ξένος ὧδ' ἀφίκηται·
Ὡς κεν ἴδω τί ποτ' ἀδὺ κατοικεῖν ἢ βυθὸν ὔμμιν.
Ἔξελθοις Γαλάτεια, καὶ ἐξελθοῦσα λάθοιο
(Ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος) οἴκαδ' ἀπελθεῖν·
Ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα, καὶ γάλ' ἀμέλγειν,
Καὶ τυρὸν πάξαι, τάμισον δ' ἐλαμεῖαν ἐνεῖσαι.
Ἀ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
Οὐδὲν πᾶ ποκ' ὅλως ποτί τιν φίλον εἶπεν ἔπος μοι,
Καὶ ταῦτ', ἄμαρ ἐπ' ἄμαρ ὁρῶσά με λεπτὸν ἐόντα.
Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μοι
Σφύδειν, ὡς ἀνιαδῆ· ἐπεὶ κἠγὼν ἀνιῶμαι.
Ὦ Κύκλωψ, Κύκλωψ, ποῖ τὰς φρένας ἐκπεπότασαι;

Si quis hospes navigans cum nave huc advenerit,
Ut sciam quænam voluptas vobis sit habitare in profundo.
Egredere ô Galatea, & egressa obliviscaris
(Sicut ego nunc hic sedens) domum redire.
Pascere vero una mecum velis, & lac mulgere,
Et caseum premere, acre coagulum immittens.
Mater me sola injuria afficit, & eam accuso:
Nihil prorsus illa unquam amabile tibi dixit de me,
Idque indies videns me tenuem *magis* fieri.
Dicam mihi caput & ambos pedes meos
Dolere, ut crucietur: quoniam & ego crucior.
O Cyclops, Cyclops, quo tibi mens avolavit?

63. ΕΞΕΙ. Τὸ πᾶν· εἴθε ἐξέλθοις ὦ Γαλάτεια, καὶ ἐξελθοῦσα, εἴθε λήθοι λαθοῦσα ὥσπερ ἐγὼ νῦν ἐνταῦθα καθήμενος, εἰς τὸ οἶκον ἀπελθεῖν. καὶ εἴθε βεληθείης σὺν ἐμοὶ ποιμαίνειν, καὶ οὐκ γάλα ἀμέλγειν. καὶ εἴθε βεληθείης, ἀπὸ κοινῆς τὸ σχῆμα, τυρὸν πήξαι, πιτείαν δραξικωτάτῳ ἐμβαλοῦσα.

87. ΑΜΑ. Ὅτι ἡ μαιροπίνη μοι. αὕτη ἂν εἴη Φόρκυνος θυγάτηρ ἡ Θόωσα, καθώς φησιν ὁ ποιητής. Ἄμαα. τοῦτο ἀγροικικὸν, καὶ ἀφελὲς τὸ ἦθος. ὅτι ἡ μήτηρ μου ἀδικεῖ με, μὴ προαγαγοῦσα τὴν ἐμὴν ἐρασμίνλω πρὸς ἐμέ. καὶ ταῦτα ὁρῶσά με ὑπὸ τοῦ ἔρωτος ἰσχναινομένον, καὶ λιπτυνόμενον καθ' ἑκάστην ἡμέραν. ἀφ' τοῦτο καὶ ἐγὼ ἀντιλυπήσω αὐτὴν, προφασιζόμενος, ὅτι τὴν κεφαλήν μου ὀδυνῶμαι, καὶ τὼς πόδας μου ἀμφοτέρους, ἐπεὶ τοῦ ἔρωτός μου καὶ φρενοτίζω.

72. Ὦ ΚΥΚ. Ὥσπερ συφραφεὶς, καὶ ἀλγήσας τὴν ψυχὴν ἀπὸ τῆς ἐκστάσεως, πρὸς ἑαυτὸν ἀναλέγεται· ποῖ τὰς φρένας ὦ Κύκλωψ ἐκπεπεταμένας καὶ πεπλανημένας ἔχεις,

Αἴκ' ἐνθὼν παλάθαν τε πλέκοις, καὶ θαλλὸν ἀμᾶσας
Τοῖς ἄρνεσσι φέροις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νῶν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τ' φεύγοντα διώκεις;
Εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίονα ἄλλαν.
Πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται,
Κιχλίζοντι δ' πᾶσαι, ἐπὴν κ' ἀοιδαῖς ἐπακοίσω·
Δηλονότ' ἐν τᾷ γᾷ κἠγών τις φαίνομαι ἥμες.
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τ' ἔρωτα,
Μαίσδων· ῥᾶον δ' ἄγᾳ' ἢ χρυσὸν ἔδωκεν.

Si tu profectus calathos texeres, & teneras virgas metens
Agnis adferres, fortasse multo rectius saperes.
Mulge presentem: quid enim fugientem sectaris?
Forte aliam invenies Galateam, & quidem pulchriorem.
Multæ puellæ mecum de nocte colludere volunt:
Suaviter vero rident omnes, cum ipsis auscultо:
Nimirum & ego in terra aliquis videor esse.
Sic Polyphemus pascebat amorem,
Cantans: suavius autem agebat, quam si aurum dedisset.

ἔχῃς, ἐὰν ἀπελθὼν καλαθίσκους συμπλέκῃς, & πόαν θερίσας τοῖς ἀρνίοις φέρῃς, ἴσως γένοιο φρενιμώτερος.

75. ΤΑΝ. Ο νῦς· τί πρὸς ἀμηχανίαν τρέπῃ; Ἡσίοδος· Νήπιος, οἳ τὰ ἤτοιμα λιπὼν, τ' ἀνήτοιμα διώκει. κατὰ τὴν παροιμίαν τοῦτο λέγει. τ' θέλοντα βιᾶν ἔλαττον ἦγεν, τὴν ἀγαπῶσαν φίλει.

80. ΟΥΤ. Πρὸς τὸν Νικίαν ὁ λόγος ἀπὸ τ ποιητοῦ. οὕτως ὁ Πολύφημος, φησι, μετεχειρίζετο, τ ἔρωτα ἐθεράπευε μελιζῶν.

81. ΡΑ. Εὐχερέστερον δὲ διάζῃ, παρὸ μισθὸν δοῦναι, εἰς θεραπείαν & ἔρωτος δηλονότι. ἢ εἰ χρυσίον εἶχε δοῦναι, ὅπως πείσῃ τὴν Γαλάτειαν.

ΥΠΟ-

ΤΗ ΠΟΘΕΣΙΣ
τῦ Δωδεκάτυ Εἰδυλλίυ.

Ἐπιγράφεται μὲ τὸ Εἰδύλλιον Αἴτης, γέγραπται ὴ Ἰάδι διαλέκτῳ. Αἴτας δὲ οἱ μὲ Θετταλοὶ καλῦσι τὺς ἐρωμένυς· οἱ ὴ, Αἴτας, τὺς ἑταίρυς. φασὶ δέ τινες λέγεσθαι τὺς ἀγαθὺς, οἷον μὴ ἄτας, ἀντὶ τῦ μὴ ἀτιμύς. ἢ Αἴτης, ὁ συναίτης καὶ συμπολίτης. Προσδιαλέγεται ὴ ὁ ἐρᾶν τῷ ἐρωμένῳ, καὶ εὔχεται δύο ψυχῶν ἁρμονὴν αὐτοῖς γενέσθαι, καὶ φιλίας ἀσφάλειαν μέχρι τέλυς διαμένσαν· ἵνα καὶ μετὰ θάνατον οἱ μετ' αὐτὺς φημίσωσιν τὴν ἐν ἀμφοτέροις ὁμόνοιαν. Καὶ τὺς Μεγαρεῖς ἐπαινεῖ, ἐπὶ τῷ τετιμηκέναι Διοκλέα ὑπερασπίσαντα τῦ ἰδίυ ἐρωμένυ.

ARGUMENTUM
IDYLLII XII.

Inscribitur quidem hoc Idyllion Aites: scriptum vero est Ionica dialecto. Aitas autem Thessali vocant amatos. Alii ἀίτας socios appellant, nonnulli vero probos & modestos ita vocari dicunt, quasi non protervos, sive impudentes. Aut Aites significat cohabitatorem & concivem. Alloquitur autem amator eum quem amat, optatque sibi duorum animorum conjunctionem, & amicitiæ solidam firmitatem, quæ usque in finem vitæ permaneat: adeo ut etiam post ipsorum mortem posteri prædicent concordiam quæ inter eos intercessit. Et Megarenses laudat, eo quod summo honore affecerint Dioclem, qui semetipsum pro amico suo defendendo morti exposuit.

ΑΙΤΗΣ,
Εἰδύλλιον ιβ'.

Ἦλυθες ὦ φίλε κῦρε τρίτῃ σιὼ νυκτὶ καὶ ἠοῖ·
Ἦλυθες· οἱ δὲ ποθεῶντες, ἐν ἤματι γηράσκυσιν.

AITES,
IDYLLION XII.

VEnisti care puer, post tertiam jam noctem & auroram,
Venisti: qui vero desiderio consenescuntur, uno die fiunt senes.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ιβ'.

Ἐπιγράφεται] τὸ παρὸν εἰδύλλιον Αἴτης. γέγραπται ὴ Ἰάδι διαλέκτῳ. ἔστι ὴ τὸ εἶδος ἀφηγηματικόν. ἀφ' ἑνὸς γὰρ προσώπυ προάγεται ὁ λόγος, τυτέστι, τῦ Θεοκρίτυ. Διαλέγεται γὰρ ὡς ἐρασὴς πρός τινα ἐρώμενον, ὃ πλέον τριῶν ἡμερῶν ἀποδεδημηκότα. ὅθεν φησὶν, ἦλθες μετὰ τρεῖς ἡμέρας· ἐγὼ ὴ σὺ μιᾷ ἡμέρᾳ γεγήρακα, ὡς ποθῶν. ἔστι ὴ Εἰσπνεῖος ὁ ἐρασὴς, κατὰ τὴν τῶν Ἀμυκλαίων διάλεκτον. Αἴτης ὴ, ὁ ἐρώμενος, ὡς Θετ-

Ὅσσον ἔαρ χειμῶνος, ὅσον μῆλον βραβύλοιο
Ἥδιον, ὅσσον ἐῖς σφετέρης λασιωτέρη ἀρνὸς,
Ὅσσον παρθενικὴ γαμφέρει τριγάμοιο γυναικὸς,
Ὅσσον ἐλαφροτέρη μόχθου νεβρὸς, ὅσσον ἀηδὼν
Συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν·
Τόσσον ἐμὶ εὐφρήνας σὺ φανείς· σκιερὴν δ' ὑπὸ φηγὸν,
Ἠλίῳ φρύσσοντος ὁδοιπόρος ἐδραμον ὥς τις.
Εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες

Quanto ver hyeme, & quanto pomum pruno
Suavius, quantoque mater ovis suo agno villosior est,
Quanto virgo præstantior est muliere ter nupta,
Quanto vitulo celerior hinnulus, quantum luscinia
Canora cantu omnes volucres superat:
Tantum tu me exhilarasti adveniens. Sub umbrosam vero fagum,
Sicut viator aliquis sole torrente, properabam.
Utinam concors adspiret utrisque amor

Θετταλοί φασιν. εὔχεται ἢ ἵνα μὴ θάνατον γένοιτο ἀοίδιμοι. ἐπαινεῖ ἢ καὶ τὰς Μεγαρεῖς ὡς τετιμηκότας τὸν Διοκλῆ παιδικοῖς ἄσμασιν ὄντα ἐπιτάφιον ἀγῶνι. ἐν ᾧ οἱ νέοι ἠγωνίζοντο φιλήμασι. καὶ ὁ μᾶλλον φιλήσας, ἐστεφανεῖτο βαρεῖ στεφάνῳ, καὶ ἀπήρχετο πρὸς τὴν ἑαυτοῦ μητέρα.

1. ΗΔΥΘ. Ὦ φίλε μοι νέε, ἦλθες μὲν τρεῖς νύκτας τε καὶ ἡμέρας, εἶτα ἐπαναφέρων εἶπεν, ὅτι βραδέως ἦλθες.

2. ΠΟΘ. Οἱ ἢ ἐρῶντες ἐν μιᾷ ἡμέρᾳ ἀπεδυρόμοι, γηρᾶσιν. ἔστι ἢ παρὰ τὸ Ὁμηρικόν· Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν. ἢ οἱ ἢ ποθοῦντες ἐν ἡμέρᾳ μιᾷ γηρῶσι τῶν ἐρωμένων ἀποτυγχάνοντες. Ἄλλως. οἱ ἐρῶντες, εἰ μίαν μόνην ἡμέραν ἢ ἐρωμένου ἀπολειφθεῖεν, τὴν πᾶσαν ζωὴν ἐστερῆσθαι τοῦ αὐτῶν παρεσίας νομίζουσιν.

3. ΟΣΣΟ. Ὅσον ἢ ἡδύτερον τὸ ἔαρ ἢ χειμῶνος, ὅσον ἡ ἐῖς τοῦ ἰδίας ἀρνὸς δασυτέρα, ὅσον ἡ παρθένος πρεσβυτέρας τοῦ πολυγάμου γυναικὸς, ὅσον ταχυτέρα ἡ ἔλαφος ἢ μόχθου, ὅσον ἡ ἀηδὼν γλυκυτάτη εἰς τὰ ἄδειν, δηλονότι ἢ πετεινῶν πάντων· τόσον φανεὶς σὺ εὐφρανας ἐμέ. κατέφυγον δὲ ὑπὸ σε ἀναψυχὴν ληψόμενος δηλονότι, ὥσπερ καὶ ὁδοιπόρος τῷ ἡλίῳ φλεγόμενος, ὑπὸ σκιὰν δένδρου κατέφυγε.

8. Ὡς ἂν τις φησὶ φλεγόμενος ὑπὸ ἡλίου εἰς σκιὰν φηγοῦ παρελθὼν, ὅταν καγὼ σοι προσαναπαυσάμενος ἀσμένως.

10. ΕΙΘ. Εἴθε, φησὶν, ἐνέχωρει ὁμοίων γενέσθαι τοῦ εἰς ἀλλήλους ἔρωτα, ἵνα καὶ ὑπὸ τοῦ μεταγενεστέρων θεσπεσίου ἡμῶν ἡ φιλία ᾖ. ἢ, εἴθε ἢ ἐφ' ἡμῖν ἀμφοτέροις εὐμενεῖς οἱ ἔρωτες γένοιντο, καὶ ἐπιπνεύσειαν ἀταράχως. γενοίμεθα ἢ καὶ τοῖς μεθ' ἡμᾶς ἐσομένοις, λόγος ἀδόμενος· ὅτι δύο τινες, ἐν ἀλλήλοις ἐγένοντο σωτακέντες τῷ ἔρωτι.

11. ΕΠΕ.

Νῶϊν, ἐπεσομβρίοις ἦ γενοίμεθα πᾶσιν ἀοιδή.
Δοιὼ δή τινε τώδε μετ' ἀμφοτέροιϛι γενέθλω
Φῶθ'· ὁ μέν, ὦ ἐϊπωνιλε, φάμη χ' ὡ μυκλαίσδων·
Τὸν δ' ἕτερον πάλιν, ὡς κεν ὁ Θεσσαλὸς εἴποι, αἴτας·
Αλλήλως δ' ἐφίλησαν ἴσῳ ζυγῷ. ἦ ῥα τότ' ἦσαν
Χρύσεοι πάλαι ἄνδρες, ὅϲ' ἀντεφίλησ' ὁ φιλησείς.
Εἰ γὰρ τοῦτο πάτερ Κρονίδη πέλοι· εἰ γὰρ ἀγήρω
Αθάνατοι· γενεαῖς ἦ δικοσίῃσιν ἔπειτα

Nobis, ita ut posteri de nobis canent!
Duo quidam inter se juncti fuerunt
Viri: alter erat amicus, dicat quis Amyclæa lingua loquens,
Alterum vero Thessalice loquens amatum vocet.
Mutuo illi sese amabant æqua lege: certe tunc fuerunt
Aurei olim homines, quum vicissim amaret qui amabatur.
Urinam hoc, ô pater Jupiter, fiat: atq; utinam nunquam senescentes
Immortales simus: atque post secula ducenta

11. ΕΠΕ. Ἐπὶ πᾶσι δὲ τοῖς ἐσομβρίοις ἐ μέλλουσιν ἔσεϲθαι· ἤτοι τοῖς μεταγενεϲτέροις γενοίμεθα ἀοιδοί· ἤτοι ἄκουσμα, λέγουσι δηλονότι.

12. ΔΟΙ. Τοῦτο ὡς τὺς προγενεϲτέρους. ἵνα οἱ μεταγενέϲτεροι τῆς φιλίας ἡμῶν μνηθέντες, λέγωσιν ὅτι δύο πρὸ ἡμῶν ἐγένοντο ἄνθρωποι· ἕτερος μὲν ὑπὸ Λακώνων λεγόμενος Ἐϊσπιλος, τυτέϲιν ἐραϲὴς· ἕτερος δὲ ὑπὸ Θεσσαλῶν Αἴτας, τυτέϲιν ἐρώμενος. ἤτοι δ' ἀλλήλως ἐξ ἴσου ἐφίλησαν, ϗ χρυσᾶ γένος, ὡς ἔοικεν, ὄντες.

13. Ὁ ΜΕΝ. Ὁ μὲ κατὰ τὺς Αμυκλαίους Ἐϊσπιλος ὀνομαζόμενος. ἤτοι γὰρ τ ἐραϲὴν Ἐϊσπιλόν φασιν· ὁ δὲ ἕτερος κατὰ τὺς Θετταλὺς Αἴτης, τυτέϲιν ἐράμενος. τὴν ἀλλήλων δὲ φιλίαν ἰσόῤῥοπον εἶχον, ὡς ἐπὶ ζυγᾶ ἰσοϲάθμου. ὡς ἔοικε δὲ τότε ἦσαν πάλαι ἄνδρες ἐκ ϗ χρυσᾶ γένους, ὅτε ὁ φιλῶν ἀντεφιλεῖτο· Αμύκλαι δὲ πόλις Λακωνική.

17. ΕΙ. Εἴθε γὰρ τοῦτο ὦ Ζεῦ γένοιτο υἱὲ ϗ Κρόνου. ΑΓΗ. Ηγυν, ὦ Ζεῦ κὴ ὦ ἕτεροι θεοὶ οἱ μὴ γηράϲκοντες, κὴ ἀθάνατοι. Αλλως. εἰ γὰρ ἀγήρω ἀθάνατοι] νοητέον ἔξωθεν, ἡμεῖς. τοῦτο δὲ οὐχ ὡς θεὺς αὐτὺς εἶναί φησιν, ἀλλ' ὡς κὴ τοῖς μεταγενεϲτέροις, ἀφ' μνήμης εἶναι κὴ ἀδελφὺς, κὴ μὴ ἐπιλαθῆναι. ἢ, εἰ γὰρ ἀγήρω ἡμεῖς, ὦ ἀθάνατοι, ἤγυν ἀφ' μνήμης ὑπάρχομεν. ὁ νῦς. τὸ πᾶν· εἴθε ἀθάνατοι γενοίμεθα, μηδ' ὅλως γήρως γευϲόμενοι, εἰ δὲ συμβαίη ἡμεῖς θανεῖν δηλονότι, εἴθε τις ἀναγείλῃ ἡμῖν εἰς τ ἀνέκβατον τόπον ϗ ᾅδου, μὴ ἀφ' ἑκοϲίας γενεᾶς, ὅτι ἡ νῦν φιλία κὴ ϗ ἐραμένη, τοῖς πάντων ἔϲκηται σώμασι, μάλιϲα δὲ τοῖς τ νεήθων σώμασι δηλονότι.

Αγγείλειεν ἐμοί τις ἀνέξοδον εἰς Αχέροντα,
Ἥ σὶ νῦν φιλότης κ τῶ χαρίεντος. αἴτεω,
Πᾶσι διὰ στόματος, μᾶ δ' ἠϊθέοισι μάλιστα.
Αλλ' ἤτοι τούτων μὲ ὑπέρτεροι ἠγανίωνες
Ἔασόνθ' ὡς ἐθέλουσιν· ἐγὼ δέ σε τ καλὸν αἰνῶν,
Ψεύδεα ῥινὸς ὕπερθεν ἀγαιῆς οὐκ ἀναφυσῶ.
Ἦν γὰρ καί τι δάκῃς, τὸ μὲ ἀβλαβὲς ὄφρυς ἔθηκας,
Διπλάσιον δ' ὤνησας· ἔχων δ' ὀπίμετρον ἀπῆνδον.
Νισαῖοι Μεγαρῆες, ἀριζήλοντες ἐρετμοῖς,

Nunciet mihi aliquis apud Acherontem irremeabilem:
Dicens, Amor tuus nunc, & amabilis amici tui,
Omnibus est in ore, præcipue vero juvenibus.
Verum horum omnium superi cœlicolæ
Dispensatores erunt sicut volent: ego vero te formosum laudibus celebrans
Non edam mendacia super nasum rarum: *i. nihil falsi dicam.*
Nam etsi *me* in aliquo læseris, & statim reddidisti id innoxium,
Et duplo juvisti, & habens auctuarium discedo.
Nisæi Megarenses, remis præstantes,

22. ΑΛΛ'. Αλλ' οἱ θεοὶ μὲ ἴσονται οἱ ἀγανίωνες ὑπέρτεροι τούτων· τοιγὰρ ἰσχυρότατοι βοηθοί, ὡς ἐθέλουσιν. ἐγὼ δὲ ἐπαινῶν σε τ καλὸν, ὃ ψεύσομαι, οὐδὲ ἐπὶ τ ῥινὸς τῆς ἐμῆς ἀναβλαστήσουσι τὰ τ ψεύδεα σύμβολα. Ἄλλως. ἐγὼ δέ σε] ἐγὼ δέ σε ἐγκωμάζων, λέγω δὲ πρὸς τ ἐρώμενον, ὃ ψεύσομαι πρὸς σέ. οὐδὲ ἐπάνω τ ῥινὸς ψεῦσμα γενήσω, ἢ μᾶλλον φύσω. εἰώθασι γὰρ ἔνιοι τὰ ἐπάνω τ ῥινὸς φύσημα ψυδράκια, ψεύσματα καλεῖν, κ εἶναι ταῦτα σημεῖον ψευδολογίας.

24. ΨΕΥ. Φύσκαι ἐπὶ τ ῥινὸς λεύκαι αἱ λεγόμεναι ἰονθοί, ἢ ὄνθοι, ὡς κατὰ τὸ ἄνθος τῆς ἡλικίας γενόμεναι, ἃς ψυδρακία ἐκάλουν. κ οἱ Σικελιῶται τ ταῦτα φύσαντα ψευδηγόρον ἐσημαίνοντο εἶναι. ἰωνθος δὲ λέγεται, παρὰ τὸ ὄνθος, οἱονεὶ μολυσμὸς τ ὄψεως.

25. ΗΝ. Ἐὰν γὰρ κ λυπηρόν τι ἢ δηκτικὸν δράσῃς, ὁ λόγος ὁ τρέσας ἰάσεται. ἢ ἐὰν γὰρ κ δηχθῶ ὑπὸ σοῦ, τὸ μὲ δῆγμα τιθηράπευκας, κ ἀβλαβὲς ἐποίησας. μᾶλλον δὲ κ εἰς τὸ διπλάσιον ὠφέλησας, κ ἐπανῆλθον εἰς τ οἶκον, ἔχων τὸ ἴσον μέτρον τ φιλίας.

27. ΝΙΣ. Νισαίους τοὺς πρὸ τ Αττικῆς. ἐπίνειον γὰρ Μεγαρέων ἡ Νίσα· ἀφ' ἧς Νισαῖοι καλοῦνται οἱ Μεγαρεῖς· ὠνομάσθησαν δὲ ἀπὸ Νίσου τ Πανδίονος, συνοικήσαντες αὐτοῖς ἀρίστευοντες. κ Σιμωνίδης ἐπαινεῖ τοὺς Μεγαρεῖς.

Ὄλβιοι οἰκοίητε, τ᾽ Ατθικὴν ὡς πέρι ἄλλων
Ξείνων τιμήσαθε Διοκλέα τ᾽ φιλόπαιδα.
Αἰεί οἱ περὶ τύμβον ἀολλέες εἴαρι πρώτῳ
Κοῦροι ἐριδμαίνυσι φιλήματος ἄκρα φέρεσθαι·
Ὅς δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη,
Βριθόμενος στεφάνοισιν εἶσι πρὸς μητέρ᾽ ἀπήνυθεν.
Ὄλβιος ὅστις παισὶ φιλήματα κεῖνα διαπρᾷ.
Ἦ που τ᾽ καλὸν Γανυμήδεα πολλὸ βοᾷ κεκορεῖν,
Λυδίῃ ἶσον ἔχειν πέτρῃ σόμα, χρυσὸν ὅποίῃ
Πρώτιστον μὴ φαῦλον, ἐτήτυμον, ἀργυραμοιβοί.

Felices habitetis, quoniam præ aliis hospitibus Atticum
Dioclea puerorum amatorem honore affecistis.
Semper primo vere ad ipsius tumulum congregati
Pueri certant oscula victoriam reportare.
Quique labra labris dulcius applicaverit,
Is coronis oneratus ad suam matrem revertitur.
Beatus ille quisquis inter pueros de osculis illis judicat.
Is scilicet pulcrum Ganymedem diligenter invocat,
Ut Lydio lapidi similia labra habeat, quo aurum
Purum explorant argentarii, ne sit vitiatum.

28. ΟΛΒ. Μακαριοῦ εἶτε, ὅτι ὑπερφιλοτίμως τ᾽ Διοκλέα ἐτιμήσατε. ἔτ᾽ γὰρ Αθήνηθεν φεύγων εἰς Μέγαρα φιλόπαις ὑπερφυῶς ὢν, ἔν τινι μάχῃ ἠρίσθυσε. καὶ ὑπερασπίζων τινος ἐρωμένου, σκεῖνον μὲν ἔσωσεν, αὐτὸς δ᾽ ἐτελεύτησεν· ὅθεν τὸν Μεγαρεῖς θάψαι αὐτὸν, καὶ τιμᾶν ὡς ἥρωα· ἀγῶνά τε αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλημάτων ἀγωνίζεσθ᾽ τ᾽ ἂ καταφιλήσαντα αὐτῶν ἥδισα, τοῦτον ὑπ᾽ αὐτῶν, ὡς κρείττω στεφανοῦσθ. Ἄλλως. ὦ Μεγαρεῖς οἱ τὴν Νίσαιαν κατοικοῦντες, καὶ τὰ ναυτικὰ ἀριστεύοντες, εὐτυχεῖτε ὀλβίως, τὴν ἑαυτῶν κατοικοῦντες πατρίδα, ἐπεὶ τ᾽ Αθηναῖον Διοκλῆν θειοτέρου τ᾽ ἄλλου τετιμήκατε, ἐρασὴν παιδὸς γεγονότα, καὶ ἐπ᾽ αὐτῷ ἀγῶνα φιλημάτων τεθείκατε, ἐν ᾧ ὁ γλυκύταλα φιλήσας, καὶ τὰ ἑαυτοῦ χείλη τοῖς ἐκ ἀντιφιλοῦντος χείλεσι προσκολλήσας, βαρεῖ στεφάνῳ στεφανωθεὶς χαίρων ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ μητέρα.

35. Η ΠΟΥ. Ὄντως ὁ κριτής, φησὶν, εὔχεται τῷ Γανυμήδῃ ἵνα ἐπιτήδειον ἔχῃ τὸ σόμα, πρὸς τὸ δικάζειν τὰ φιλήματα, ἔστω, ὡς ἡ Λυδία λίθος δοκιμάζει τ᾽ χρυσὸν, εἴτε καλὸς, εἴτε καὶ μὴ, ἡ λεγομένη χρυσῖτις, ὡς τοὺς λίθους τούτους παρὰ Λυδοῖς εὑρισκομένους. τὸ δ᾽ ἑξῆς, ἔστω, εὔχεται τῇ Λυδίᾳ πέτρᾳ ἴσον ἔχειν τὸ σόμα, ἢ τινι οἱ ἀργυραμοιβοὶ τ᾽ χρυσὸν δοκιμάζουσιν.

ΥΠΟΘΕΣΙΣ
τῦ Τρισκαιδεκάτυ Εἰδυλλίυ.

Τῦτο μὲ τὸ Εἰδύλλιον ὅλως διηγηματικόν ἐςιν. ἐκτίθεται γὰρ ὁ ποιητὴς ὡς μὲ Ὕλαν τὴν ὑπὸ τῶν Νυμφῶν ἁρπαγήν, ὅταν ἐς τὴν κρήνην ἐπιδέξιον ὕδωρ τῷ Ἡρακλεῖ κομίσων ἀπῆλθε· ὡς δὲ Ἡρακλέα τὴν πλάνην, καὶ τὴν ὑπὲρ ὡς Ὕλαν βάσανον. Ἰςέον δὲ ὅτι ὁ Ὕλας παῖς ἐτύγχανε Θεοδάμαντος ξυλοτόμυ, ὃν ἤρα Ἡρακλῆς.

ARGUMENTUM
IDYLLII XIII.

Hoc Idyllion meram rei geſtæ narrationem continet. Recenſet enim Poëta Hylæ pueri raptum à Nymphis, quum ad fontem, aquam ad cœnam pro Hercule petiturus abiiſſet: & Herculis errationem, ac gravem, ob amiſſum Hylam, dolorem. Sciendum autem Hylam fuiſſe Theodamantis lignorum ſectoris filium, quem amavit Hercules.

ΥΛΑΣ,
Εἰδύλλιον ιγ'.

ΟΥΧ ἁμῖν τ' Ἔρωτα μόνοις ἔτεχ', ὡς ἐδοκεῦμες,
Νικία, ᾧ τινι τῦτο θεῶν ποκα τέκνον ἔγλυτο·
Οὐχ ἁμῖν τὰ καλὰ πεφάτοις καλὰ φαίνετ' ἦμες,
Οἱ θνατοὶ πελόμεθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες·
Ἀλλὰ καὶ Ἀμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱὸς,

HYLAS,
IDYLLION XIII.

NON nobis ſolis amorem peperit, ut arbitrabamur,
O Nicia, cuicunque tandem Deorum puer hic natus ſit:
Neque nobis primis ea quæ pulchra ſunt, pulchra videntur,
Qui mortales ſumus, & craſtinum non cernimus:
Quin & Amphitryonis filius, cui ferreum pectus erat,

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ιγ'.

Ἐπιγράφει τὸ παρὸν εἰδύλλιον Ὕλας· πάλιν δὲ τῷ Νικίᾳ προσδιαλέγεται, ὡς καὶ ἐν τῷ Κύκλωπι. ἐκτίθεται δὲ τὰ πρὸς τ' Ὕλαν καὶ Ἡρακλέα, ὃν μὲ Ὕλα, ὑπὸ τ' νυμφῶν ἁρπαγήν. τῦ δὲ Ἡρακλέως τὴν πλάνην, καὶ τὴν ὡδὲ ὃν Ὕλα βάσανον. Θεοκρίτυ Ὕλας. Δωριδί.

6. ΛΙΝ.

Ὃς τ λῖν ὑπέμεινε τ ἄγελον, ἤρατο παιδὸς
Τῶ χαρίεντ Ὕλα, τῶ τὰν πλοκαμῖδα φορεῦντος·
Καί μιν πάντ' ἐδίδαξε, πατὴρ ὡσεὶ φίλον υἷα,
Ὅσσα μαθὼν, ἀγαθὸς κ ἀοίδιμ· αὐτὸς ἔγχυτο·
Χωρὶς δ' ἀδέποκ' ἦς, ὐδ' εἰ μέσον ἄμαρ ὄρωτο,
Οὐδ' ὄκχ' ἁ λεύκιππ ἀνατρέχοι ἐς Διὸς αὐλάν,
Οὐδ' ὁπότ' ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν,
Σεισαμβίας πτερὰ ματρὸς ἐπ' αἰθαλόεντι πελύρῳ·

Qui sævum leonem sustinuit, is amavit puerum
Formosum Hylam, cæsariem ferentem:
Ipsumque omnia edocuit, sicut pater carum filium:
Quibus præceptis ipse vir præstans & celebris effectus erat,
Et nunquam ab eo discedebat neque tempore meridiano,
Nec cum in domum Jovis excurreret albis quadrigis aurora,
Neque cum pulli avium queruli ad nidum respicerent,
Matre quatiente alas in fuliginosa trabe:

6. ΛΙΝ. Λῖν τ λέοντα, ἀπὸ εὐθείας τ λίς. κ Ὅμηρ· Ἐπί τε λῖν ἤγαγε δαίμων. κ, λὶς ἠϋγένει. ἱστορῖται γ λέοντας ὑφ' Ἡρακλέους ἀμφθαρῆναι, τ Ἐλικώνιον, τ Λέσβιον, τ Νεμεαῖον.

7. ΥΛΑ. Τὸν Ὕλαν Σωκράτης, υἱὸν Ἡρακλέους φησίν. Ἀπολλώνι ὁ Ῥόδι, Φιλοδάμ κ Κύνικ. Εὐφορίων, Εὐφήμ τ Ποσειδῶνο ἐρωμένην. κ ἄλλοι ἄλλων. ΦΟΡ. Τ ἔχοντ τὰς τρίχας τῆς κεφαλῆς πεπλεγμένας, ἵν' ᾖ τὸ φορῦντ, ἀντὶ τ φερόντ κ ἔχοντ.

9. ΟΣΣ. Ἀριστοτέλης φησὶν, ὑπὸ Ῥαδαμάνθυ παιδευθῆναι τ Ἡρακλέα· Ἡρόδοτ δ ὑπὸ τῶν βυκόλων Ἀμφιτρύωνο, τινὲς δ ὑπὸ Χείρωνο κ Θεσταίδου.

10. ΧΩΡ. Οὐδέ ποτε, φησιν, ὁ Ἡρακλῆς, αὐτῦ ἐχωρίζετο, ὐδὲ μεσούσης τ ἡμέρας, ὐδὲ ταῖς ἑωθιναῖς ὥραις.

12. ΟΥΔ. Οὔτε τ καιρὸν καθ' ὃν οἱ νεοσσοὶ ἐν οἰκήματι τινὶ ὄντες, ἀποβλέποιεν εἰς τὴν κοίτην, πτερυσσομένης τ μητρὸς κ λοιπὸν ἀναχωρούσης, τὴν τελευταίαν ἐκδεχόμενοι τροφήν. ὀρτάλιχοι δὲ νεοσσοὶ μικροὶ, μηδέποτε πετόμενοι. μινυροὶ δὲ ἀντὶ τ μινυρίζοντες, κ λεπτῇ φωνῇ θρηνοῦντες μητρὸς ἐκπτυσσομένης, ὅπως ὑπὸ τὰς πτέρυγας λάβωσι τοὺς νεοσσούς.

13. ΠΕ. Πέτδυρον δὲ, σανίδιον λεπτὸν κ τετραμμένον, ᾧ κ εἰς τὰς ὀρόφους ἀντὶ κεραμίων πολλοὶ χρῶνται. οἱ δὲ αἰθαλόεν πέτευρον τὴν δοκὸν λέγουσιν. ὡς κ Ὅμηρ· Αὐτοὶ δ' αἰθαλόεντας ἀνὰ ῥῶγας μεγάροιο. τινὲς δέ φασιν αἰθαλόεν εἰπεῖν τὸ πέτδυρον, διὰ τὸ αἴτιον εἶναι αἰθάλης. ἢ ἀπὸ τ αἰθαλῆ λίαν. ὅταν αὐτὸ ἔφη. τὸ δὲ πᾶν ἔχει ὅτω, μέχρι τ, αὐτῷ δ' εὖ ἔλκων. Πάλιν ὁ λόγ πρὸς τ Νικίαν, φίλων ὄντα τ

Θεό-

Ὡς ἀυτῷ κ' ἐν θυμὸν ὁ παῖς πεπυκασμένος εἴη,
Αὐτᾷ δ' εὖ ἕλκων ἐς ἀλαθινὸν ἄνδρ' ἐποβαίη.
Αλλ' ὅτε τὸ χρύσειον ἐπὶ μ' κῶας Ιήσων
Αἰσονίδας, οἱ δ' ἀυτῷ ἀριστῆες συνέπονθο,
Πασᾶν ἐκ πολίων προκριθεγμένοι, ὧν ὄφελός τι·
Ἵκετο κὠ παλαιρὸς ἐς ἀφνειὰν Ιαολκὸν

Ut ipse puer ex sententia elaboratus esset,
Unaque recte trahens in verum virum evaderet.
Sed cum ad *petendum* aureum vellus navigaret Jason
Æsonides, & principes ipsum sequerentur
Omnibus ex urbibus delecti, quorum usus aliquis esse poterat:
Advenit & laborum patiens in divitem Jaolcum

Θεοκρίτ. φησὶ γὰρ ὁ Θεόκριτος πρὸς αὐτόν· ὅτι, ὡς ἐδοκεῖμεν ὦ Νικία, οὐχ ἕνεκα ἡμῶν μόνων ἐγέννησε τὸ ἔρωτα ὁ θεὸς, ᾧ τινι ἐγένετο τέκνον, οὐχ ἡμῖν μόνοις τὸ καλὸν φαίνεται καλὸν εἶναι, οἵ τινες θνητοί ἐσμεν, καὶ σήμερον ὁρῶμεν, αὔριον δ' οὐχ ὁρῶμεν· τυτέστι, σήμερον ζῶμεν, αὔριον δὲ τεθνηξόμεθα· ἀλλὰ καὶ ὁ Ἡρακλῆς ὁ χαλκεοκάρδιος, τυτέστιν ὁ σιδηρᾶς υἱὸς τῆς Αμφιτρύωνος, ὃς τις ὁ Ἡρακλῆς ἀπέκτεινε τὸν Νεμέα λέοντα, δεδόκτο τῷ ἔρωτι. ἠράσθη γὰρ παιδὸς καὶ χαριέντος Υλα, καὶ φέροντος πλόκαμον· τυτέστι καὶ ἔχοντος τὰς τρίχας πεπλεγμένας, καὶ ἐδίδαξεν αὐτὸν τὸν Ὕλαν ὁ Ἡρακλῆς πάντα τὰ πρὸς ὠφέλειαν, ὡς καὶ πατὴρ διδάξειεν ἂν τὸν ἑαυτῆς παῖδα. ἐνεῦθα δηλονότι ἐδίδαξεν αὐτὸν, ὅσα αὐτὸς ὁ Ἡρακλῆς μαθὼν, ἀγαθὸς ἐγένετο· τυτέστιν, ἐπαινετός. ἐς τοσοῦτον δὲ διδόκτο ὁ Ηρακλῆς τῷ ἔρωτι καὶ παιδὸς, ὥστε ὀδίποτε ἦν χωρὶς αὐτοῦ· τυτέστι κεχωρισμένος· ἀλλὰ διαπαντὸς σὺν καὶ ὡμίλει αὐτῷ· τοῦτο γὰρ δίδωσιν ὁ λόγος, τῷ μηδέποτε ἀφίσασθαι τὸ παιδὸς, μήτε τῷ μέσῳ τῆς ἡμέρας, τυτέστι, τῇ μεσημβρίᾳ· μήτε ὀπότε ἀνατέλλοι ὁ ἥλιος. τοῦτο γὰρ σημαίνει, τὸ ἀνατρέχειν ἡ λευκίππος ἠὼς ἐς τὸ δῶμα τοῦ Διός· τυτέστιν, ἡ ἐπὶ λευκῶν ἵππων ὀχουμένη, μήτε ὀπότε ὄρνις τὰς νεοσσὺς, ἔχουσα καὶ ὄντας πρὸς τὴν κοίτην τοῦ ἡλίου δύνοντος ἐπὶ ξύλα καθημένη, καὶ τὰ πτερὰ αὐτῆς σφιβάλλουσα, σκέπῃ καὶ σφιθάλπῃ. ὅτω πεπαίδευτο ὁ παῖς αὐτῷ κατὰ θυμόν· τυτέστι, κατὰ τὴν οἰκείαν ἀρίσκειαν.

15. ΑΥΤΩ. Αντὶ τοῦ αὐτόθεν, ὥσπερ αὐτόθεν ἐκ νεότητος καλῶς ἕλκων καὶ κατὰ μηδὲν ἐλαττούμενος. μηδὲ ἐλλείπων, ἀνὴρ γένοιτο. εἴρηται δὲ μεταφορικῶς, ἀπὸ τῶν βοῶν τῶν ἐν νέῳ ζευγνυμένων καλῶς ἕλκειν.

Αλκμήνας υἱὸς Μιδεάτιδος ἡρωΐνας
Σὺν δ' αὐτῷ κατέβαινεν Ὕλας δύεσθον ἐς Ἀργώ,
Ἅπις Κυανέων ὑχ ἥψατο σωζομάδων ναῦς,
Ἀλλὰ διεξάιξε (βαθὺν δ' εἰσέδεγμε Φᾶσιν)
Αἰετὸς ὡς, μέγα λαῖτμα· ἀρ' ὃ τότε χειμάδες ἔσαν.
Ἄμμος δ' ἀντέλλοντι Πελειάδες, ἑβδατιαὶ ὄϊ
Ἄρνα νέον βόσκοντι, τετραμμένου εἴαρος ἤδη,
Τᾶμος ναυτιλίας μιμνάσκετο θεῖος ἄωτος.

30 Alcmenæ filius Mideatidis heroïnæ:
Unaque cum ipso descendit Hylas in firmam Argo,
Quæ navis Cyaneas *insulas* concurrentes non attigit,
Sed velociter perrupit (in profundum a. ingressa est Phasidem)
Sicut aquila, magnos fluctus: ex quo tempore petræ illæ constiterunt.
25 Cum vero Pleiades orirentur, & extremæ agrorum partes
Agnos juvenculos pascerent, vere ad finem jam converso;
Tunc navigationis meminit divinus flos

20. ΜΙΔ. Μίδεια πόλις Ἄργους. οἱ δὲ κώμην αὐτὴν φασιν. Ἀργεῖα δὲ καὶ ἡ Ἀλκμήνη.

22. ΚΥΑ. Καρύστιος ὁ Περγαμηνὸς φησι, Κυανέας μὲ ὑπὸ ἀνθρώπων, ὑπὸ δὲ θεῶν, ὅρκῳ πύλας κεκλῆσθαι. Τιμοσθένης δέ φησιν, ἀπὸ τοῦ ἱερᾶ ὄσσε εἶδον, εἶναι νησίδιον σκοπελώδες. καλεῖσθαι δὲ τὰς τύτε ἄκρας Κυανέας. ΣΥΝ. Δηλοῖ τὸ συντρέχειν ἀλλήλαις, καὶ συνέρχεσθαι, καὶ συνθραύειν τὰς διαπερώσας ναῦς. μόνην δὲ τὴν Ἀργὼ φασὶ προνοίᾳ τῆ Ἀθηνᾶς διαβεβηκέναι. ἣν δὲ πεπερασμένον ταῖς συμπληγάσι πέτραις, ὡς εἰ διαβαίη τις ἅπαξ ναῦς αὐτὰς ἀβλαβῶς, καὶ τὰς μὴ ταῦτα, μηδέν τι πάσχειν δηνέι. ἐκ ἐκείνε δὲ τοῦ χρόνε, ἀφ' ὃ ἡ Ἀργὼ διέβη, ἔστησαν τὸ συνδρομῆς.

23. ΒΑΘ. Φάσις ποταμὸς καὶ πόλις ὁμώνυμος ἐν Κόλχοις, παρ' ἣν Ἕλληνες, Μιλησίων ἄποικοι.

25. ΑΝΤ. Περὶ ἀνατολὴν φησι τῶν Πελιάδων ἤρξαντο χείμασθαι τὰ πλοῖα, καὶ ἀνάγεσθαι οἱ ἥρωες εἰς Χόλχους. ἔστι δὲ ὁ καιρὸς ἀρχομένε τοῦ θέρες. διὸ καὶ ἐπήγαγε, τετραμμένε εἴαρος· τετέσι, λήξαντος. Ἄλλως. αἱ Πελιάδες, φησὶ Καλλίμαχος, τὸ βασιλίσσης τῶν Ἀμαζόνων ἦσαν θυγατέρες, αἳ Πελιάδες προσηγορεύθησαν. πρῶτον δὲ αὗται χορείαν καὶ πανυχίδα συνεστήσαντο παρθενεύεσθαι. ὁ δὲ νῦς, καθ' ὃν φησι καιρὸν ἀνατέλλεσιν αἱ Πλειάδες, θάλπει τε πᾶσα γῆ ταῖς βοτάναις τοῦ ἔαρος, τιμιώτατα τοῦ ἀπόπλε ἐφρόντιζον. τὰ δὲ ὀνόματα τῶν Πλειάδων εἰσὶ ταῦτα, Κελαινὼ, Πλειονίκη, Πρῶτις, Παρθενία, Μαία, Στερωπή, Λαμπαδία.

27. ΑΩ. Ἄωτος τὸ ἀπάνθισμα τῶν ἀνθῶν. οἷον, οἱ πρῶτοι τῶν ἡρώων· τὸ θεῖον ἀπάνθισμα τῶν ἡρώων. εἴρηται δὲ ἄωτος, ἀπὸ τοῦ ἄημι, ἤγεν, πνεῖν καὶ ὀδωδέναι.

30. ΕΙΣΩ.

Ἡρώων· κοίλαν ἧ καθιδρυνθέντες ἐς Ἀργώ,
Ἑλλάσποντον ἵκοντο, νότῳ τρίτον ἅμαρ ἀέντι·
Εἶσω δ' ὅρμον ἔθεντο Προποντίδος, ἔνθα Κιανῶν
Αὔλακας ἀρύοντι βοὲς τρίβοντες ἄροτρον.
Ἐκβάντες δ' ὄτε δῖνα, κἠ ζυγὰ δαῖτα πένοντο
Δειλινοί· πολλοὶ ἧ μίαν στορέσαντο χαμεύνην.
Λειμὼν γάρ σφιν ἔκειτο, μέγα σιδάδεσσιν ὄνειαρ·
Ἔνθεν βότομον ὀξὺ, βαθὺν δ' ἐτάμοντο κύπειρον.

Heroum, cavaque ſedentes in Argo,
In Helleſpontum veniunt, auſtro jam tertiam diem ſpirante.
Appuleruntque ad portum Propontidis, ubi Cianorum
Sulcos dilatant boves ducentes aratrum.
Egreſſi vero in littus, juxta juga cœnam inſtruxerunt
Veſpere: multi vero ſimul unum totum ſternebant.
Pratum enim aderat, magnum toris auxilium.
Hinc butomum acutum, denſumq; ſecuerunt cyperum.

30. ΕΙΣΩ. Καθορμίσθησαν ἐν τῇ Προποντίδι, κατὰ τὴν Κῖον τὴν νῦν καλουμένην Πρῦσαν. ἔνθα τὰ κατὰ τὸν Ὕλαν. ἢ ἔνθα καὶ Ἡρακλῆς ἀπὸ τῶν ἡρώων κατελείφθη. ΕΝ. Εἰς τὸν τόπον τῶν Κιανῶν. Κιανοὶ δὲ οἱ τὴν Κῖον οἰκοῦντες· ἣ τις νῦν καλεῖται Πρῦσα, ἀπὸ τῶν Αθλίων βασιλέως Πρυσίου. Κῖος δὲ ἀπὸ Κίου τοῦ υἱοῦ Ολύμπου, ἀφ' οὗ τὸ ὄρος ὁ Ὄλυμπος.

34. ΣΤΙ. Ἦγεν ταῖς κοίταις ὠφέλεια. παρ' ὅσον ἐποίουν τὰς σιδάδας ἐκ τοῦ ἐν τῷ λειμῶνι φυομένης ὕλης. σιδάδας δὲ καλοῦσι, τὴν ἐξ ὕλης χορτώδη κατάστρωσιν. Αὐτὰρ ὅ γ' εὖ ἔλκων] Τὸ πᾶν μέχρι τοῦ, ἔνθεν βότομον ὀξὺ, βαθὺν δ' ἐτάμοντο κύπειρον, ἔχει ὕστερος. ἀγόμενος δὲ ὁ παῖς αὐτῷ τῷ Ἡρακλεῖ, ἵνα ἀποβαίη εἰς ἀληθινὸν ἄνδρα, τυτέσιν ἀνδρεῖος ἀναφανείη μὴ ψυδόμενος τὴν ἑαυτοῦ φύσιν δηλονότι. ἀλλ' ὅτε ὁ Ιάσων ἔπλει εἰς τὸ χρύσεον δέρμα, ὁ υἱὸς τοῦ Αἴσωνος, συνέπλεον δὲ μετ' αὐτοῦ καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων, ἐκλελεγμένοι ἐκ πασῶν τῶν πόλεων, οἵ τινες ἦσαν ὠφέλιμοι (τοῦτο γάρ ἐστι τὸ, ὧν ὄφελός τι) ἀφίκετο δὲ ὁ Ἡρακλῆς ὁ υἱὸς τῆς Αλκμήνης τῆς Μιδεατίδος τοῦ ἡρωίνης, ὁ ταλαιεργὸς, τυτέσιν, ὁ καρτερικὸς, εἰς τὴν πόλιν τὴν Ιαολκὸν τὴν ἀφνειάν· τυτέσι τὴν πλουσίαν. σὺν αὐτῷ δὲ τῷ Ἡρακλεῖ καὶ ὁ Ὕλας εἰσέβαινεν εἰς τὴν νῆα τὴν Αργὼ τὴν εὔεδρον, καὶ εὐκάθεδρον, ἤ τις ἡ Αργὼ ναῦς δηλονότι, ἐκ ἥψατο τῶν πετρῶν τῶν μιλαινῶν τῶν συνδρομάδων· τυτέσι, τῶν συγκροτουμένων πρὸς ἀλλήλας. ἀλλὰ διέδραμεν αὐτὰς, καὶ ἦλθεν εἰς τὸ Φᾶσιν ποταμὸν τὸ βαθὺν, ὥσπερ ἀετὸς διαπερᾷ τὴν θάλατταν. ἐξ ἐκείνου δὲ τοῦ καιροῦ, ἔμειναν αἱ χοιράδες πέτραι ἀκίνητοι. Τότε δὲ ἐμήσθησαν οἱ Αργοναῦται

30 Appuleruntque ad portum Propontidis, ubi Cianorum
Sulcos dilatant boves ducentes aratrum.

35 Hinc butomum acutum, denſumq; ſecuerunt cyperum.

